„Καὶ [6]) εἶπα· νῦν ἠρξάμην, αὕτη ἡ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ ὑψίστου," κ. τ. ε. Οὐδέποτε [7]) ἤρξατο κεκραγὼς πρὸς θεὸν, καὶ ἐν ἡμέρᾳ θλίψεως ζητήσας αὐτὸν, καὶ μὴ ἀπατηθεὶς, καὶ ἐπὶ τῷ μεμνῆσθαι τοῦ θεοῦ εὐφρανθεὶς, προκαταλαβόντων φυλακὰς τῶν ὀφθαλμῶν αὐτοῦ. Δεξιὰ δὲ τοῦ ὑψίστου ὁ σωτὴρ, ὃς ἠλλοίωσεν ἑαυτὸν, μορφὴν δούλου λαβὼν, δι' ὃν ἠρξάμεθα ἐν τῇ καινῇ προευτρεπισάμενοι εἰς τὸ ἄρξασθαι τοὺς τύπους παύεσθαι, ἄρχεσθαι δὲ τὴν ἀλήθειαν.

„Τοῦ αὐτοῦ." Ἀλλοίωσιν [8]) λέγει ἐνταῦθα τὴν ἀπο κακίας καὶ ἀγνωσίας ἐπ' ἀρετὴν καὶ γνῶσιν ἐπάνοδον.

„Ὁ [9]) θεὸς ἐν τῷ ἁγίῳ ἡ ὁδός σου· τίς θεὸς μέγας ὡς ὁ θεὸς ἡμῶν;" κ. τ. ε. Ἤτοι [10]) ἐν παντὶ ἁγίῳ ἡ ὁδὸς τοῦ θεοῦ, ἢ ἐν τῷ Χριστῷ ὁ λόγος αὐτοῦ· ὁ γὰρ εἰπών· „ἐγώ [11]) εἰμι ἡ ὁδός·" ἐν τῷ ἁγίῳ ἐστίν.

---

1) Psalm. LXXVII, 6. (LXXVI.)
2) R. in notis: Cod. Coislinianus primus.
3) Psalm. LXXVII, 8. (LXXVI.)
4) Ruaeus: E Cod. Coisliniano primo.
5) Psalm. XXXVI, 10. (XXXV.)
6) Psalm. LXXVII, 10. (LXXVI.)
7) Ruaeus: E Cod. Coisliniano secundo.
8) Ruaeus: Cod. Coislinianus primus.
9) Psalm. LXXVII, 13. (LXXVI.)
10) R. in notis: Cod. Coislinianus secundus.
11) Ev. Joann. XIV, 6.

„Τοῦ αὐτοῦ.“ Ὅρα [1]) εἰ διὰ τούτων εὐφραίνεται, ὅτι εἰσὶ μέν τινες θεοὶ, οὐδεὶς δὲ μέγας ὡς ὁ θεὸς ἡμῶν, καὶ εἰ συγχωρήσασθαι εἰς ταῦτά ἐστι τῷ· „ὥσπερ [2]) εἰσὶ θεοὶ πολλοί,“ κ. τ. ε.

„Ἐγνώρισας [3]) ἐν τοῖς λαοῖς τὴν δύναμίν σου,“ κ. τ. ε. Τουτέστι· [4]) τὸν Χριστόν· Χριστὸς γὰρ δύναμις καὶ θεοῦ σοφία.

„Ἐταράχθησαν [5]) ἄβυσσοι,“ κ. τ. ε. Αἱ [6]) ἄβυσσοι τὰς καταχθονίους δυνάμεις δηλοῦσιν, αἵτινες ἐν τῇ παρουσίᾳ Χριστοῦ ἐταράχθησαν.

„Φωνὴ [7]) τῆς βροντῆς σου ἐν τροχῷ,“ κ. τ. ε. Ὁ [8]) τροχὸς ἢ τὸν αἰῶνα σημαίνει τοῦτον, ἢ τὸν κόσμον τὸν αἰσθητὸν, ἢ τὴν καθαρὰν καὶ αἰώνιον ψυχὴν, εἴπερ ἡ κακία παρὰ γωνίαν παρεδρεύει.

„Ἔφαναν [9]) αἱ ἀστραπαί σου τῇ οἰκουμένῃ,“ κ. τ. ε. Πρώτη [10]) μὲν ἡ βροντὴ τῆς ἀστραπῆς, ἡ δ' ἀστραπὴ ὁρᾶται πρώτη.

„Ἐν [11]) τῇ θαλάσσῃ ἡ ὁδός σου, καὶ αἱ τρίβοι σου ἐν ὕδασι πολλοῖς, καὶ τὰ ἴχνη σου οὐ γνωσθήσεται,“ κ. τ. ε. Ἀνωτέρω [12]) εἴρηται· „ὁ [13]) θεὸς ἐν τῷ ἁγίῳ ἡ ὁδός σου.“ Ἡ μὲν ὁδὸς τοῦ θεοῦ ἐν θαλάσσῃ γέγονεν ἐρυθρᾷ· αἱ δὲ τρίβοι αὐτοῦ, ἐν ὕδασι πολλοῖς

---

[1]) Ruaeus: Cod. Coislinianus secundus.
[2]) I Cor. VIII, 5.
[3]) Psalm. LXXVII, 14. (LXXVI.)
[4]) Ruaeus: E Cod. Coisliniano primo.
[5]) Psalm. LXXVII, 16. (LXXVI.)
[6]) Ruaeus: E Cod. Coisliniano primo.
[7]) Psalm. LXXVII, 18. (LXXVI.)
[8]) R. in notis: Cod. Coislinianus primus.
[9]) Psalm. LXXVII, 18. (LXXVI.)
[10]) Ruaeus: Cod. Coislinianus secundus.
[11]) Psalm. LXXVII, 19. (LXXVI.)
[12]) R. in notis: E Cod. Coisliniano secundo.
[13]) Psalm. LXXVII, 13. (LXXVI.)

ἐπὶ τοῦ Ἰορδάνου, ἐπὶ Ἰησοῦ καὶ Ἠλίου. Ἀλλὰ καὶ „ἀνεξιχνίαστοι [1]) αἱ ὁδοὶ αὐτοῦ." Διὸ καὶ „τὰ [2]) ἴχνη αὐτοῦ οὐ γνωσθήσεται" ὁδεύοντος ἐν θαλάσσῃ, καὶ τρίβους ἐν ὕδασι πολλοῖς ἔχοντος, ἐν οἷς ὡδήγησε τὸν λαὸν αὐτοῦ διὰ θαλάσσης ἐρυθρᾶς.

Ψαλμὸς ἑβδομηκοστὸς ἕβδομος.

„Καὶ [3]) τὰς ἐντολὰς αὐτοῦ ἐκζητήσωσι," κ. τ. ε. Οἱ [4]) τὰς ἐντολὰς ἐκζητοῦντες τοῦ θεοῦ, οὐ γίνονται ψεκτοὶ ὡς οἱ πατέρες αὐτῶν.

„Ἐστράφησαν [5]) ἐν ἡμέρᾳ πολέμου," κ. τ. ε. Οὗτος νῶτα δίδωσι τοῖς ἐχθροῖς, ὁ μὴ φυλάσσων τὸν νόμον τοῦ θεοῦ.

„Καὶ [6]) προσέθεντο ἔτι τοῦ ἁμαρτάνειν αὐτῷ," κ. τ. ε. Ὡς χαλεπὸν τὸ μετὰ τὴν γνῶσιν ἁμαρτάνειν.

„Μὴ [7]) δυνήσεται ὁ θεὸς ἑτοιμάσαι τράπεζαν ἐν ἐρήμῳ;" κ. τ. ε. Ἔρημον οὖσαν τὸ πρότερον τὴν ψυχὴν Ματθαίου τοῦ τελώνου, ὁ σωτὴρ ἡμῶν πεποίηκε τράπεζαν τρέφουσαν διὰ τοῦ εὐαγγελίου τὰς ψυχὰς τῶν ἀνθρώπων.

„Καὶ [8]) πῦρ ἀνήφθη ἐν Ἰακὼβ, καὶ ὀργὴ ἀνέβη ἐπὶ τὸν Ἰσραήλ," κ. τ. ε. Πῦρ μὲν ἀνάπτεται ἐπὶ τὸν πρακτικὸν, ὀργὴ δὲ ἀναβαίνει ἐπὶ τὸν θεωρητικόν.

---

[1]) Rom. XI, 33.

[2]) Psalm. LXXVII, 19. (LXXVI.)

[3]) Psalm. LXXVIII, 7. (LXXVII.)

[4]) R. in notis: Ab hoc Psalmo usque ad finem Psalmi CXIX. (CXVIII.) omnia scholia graeca vel e Cod. Coisliniano primo, vel e schedis Grabii deprompta sunt.

[5]) Psalm. LXXVIII, 9. (LXXVII.)

[6]) Psalm. LXXVIII, 17. (LXXVII.)

[7]) Psalm. LXXVIII, 19. (LXXVII.)

[8]) Psalm. LXXVIII, 21. (LXXVII.)

„Καὶ [1]) θύρας οὐρανοῦ ἀνέῳξεν," κ. τ. ε. Θύρας οὐρανοῦ λέγει φύσεις λογικὰς πρὸς διδασκαλίαν πνευματικὴν κινηθείσας.

„Ἄρτον [2]) ἀγγέλων ἔφαγεν ἄνθρωπος," κ. τ. ε. Ὁ σωτήρ φησιν· „ἐγώ [3]) εἰμι ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς." Τοῦτον οὖν τὸν ἄρτον ἤσθιον μὲν πρότερον ἄγγελοι, νυνὶ δὲ καὶ ἄνθρωποι. Τὸ „ἐσθίειν" ἐνταῦθα τὸ „γινώσκειν" σημαίνει· τοῦτο γὰρ ἐσθίει νοῦς, ὃ καὶ γινώσκει, καὶ τοῦτο οὐκ ἐσθίει, ὃ οὐ γινώσκει.

„Καὶ [4]) ἔβρεξεν ἐπ' αὐτοὺς ὡσεὶ χοῦν σάρκας," κ. τ. ε. Τὴν ὀρτυγομήτραν σάρκας ὠνόμασεν.

„Καὶ [5]) ἐμνήσθη ὅτι σάρξ εἰσι," κ. τ. ε. Ἀντὶ τοῦ· „σαρκικοί."

„Ἐξαπέστειλεν [6]) εἰς αὐτοὺς κυνόμυιαν, καὶ κατέφαγεν αὐτούς," κ. τ. ε. Οἱ Ἑβραῖοι λέγουσι κυνόμυιαν θηρία διάφορα καὶ ἀναμεμιγμένα.

„Ἀπαρχὴν [7]) παντὸς πόνου αὐτῶν ἐν τοῖς σκηνώμασι Χάμ," κ. τ. ε. Οὕτως ἐκείνους παιδεύσας, ἐπὶ τὴν ἔρημον ἤγαγε τὸν οἰκεῖον λαὸν, ποιμένα μιμούμενος τῆς ποίμνης ἡγούμενον.

„Καὶ [8]) εἰσήγαγεν αὐτοὺς εἰς ὄρος ἁγιάσματος αὐτοῦ," κ. τ. ε. Ὄρος ἁγιάσματός ἐστιν ἡ γνῶσις τοῦ θεοῦ.

„Καὶ [9]) ἐσκήνωσεν ἐν τοῖς σκηνώμασιν αὐτῶν τὰς

---

[1]) Psalm. LXXVIII, 23. (LXXVII.)
[2]) Psalm. LXXVIII, 25. (LXXVII.)
[3]) Cfr. ev. Joann. VI, 51.
[4]) Psalm. LXXVIII, 27. (LXXVII.)
[5]) Psalm. LXXVIII, 39. (LXXVII.)
[6]) Psalm. LXXVIII, 45. (LXXVII.)
[7]) Psalm. LXXVIII, 51. (LXXVII.)
[8]) Psalm. LXXVIII, 54. (LXXVII.)
[9]) Cfr. Psalm. LXXVIII, 55. (LXXVII.)

φυλὰς τοῦ Ἰσραήλ,“ κ. τ. ε. „Ἐνοικήσω [1]) γάρ, φησίν, ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω.

„Καὶ [2]) ἐπείρασαν καὶ παρεπίκραναν τὸν Θεὸν τὸν ὕψιστον,“ κ. τ. ε. Ἁμαρτάνουσα ψυχὴ παραπικραίνει γνῶσιν, ἡ δὲ κατορθοῦσα γλυκαίνει αὐτήν.

„Μετεστράφησαν [3]) εἰς τόξον στρεβλόν,“ κ. τ. ε. Τόξον στρεβλὸν ψυχὴ διεστραμμένη, βέλη δὲ αὐτῆς λογισμοὶ πονηροί.

„Καὶ [4]) ἀπώσατο τὴν σκηνὴν Σηλώμ,“ κ. τ. ε. Τὴν ἐν Σηλὼμ ἑστῶσαν.

„Καὶ [5]) τὴν κληρονομίαν αὐτοῦ ὑπερεῖδεν,“ κ. τ. ε. Κληρονομίαν ἐνταῦθα τὸ κληρονομοῦν εἴρηκεν. Ἄλλως κληρονομία Θεοῦ ψυχαὶ λογικαί.

„Τοὺς [6]) νεανίσκους αὐτῶν κατέφαγε πῦρ,“ κ. τ. ε. Τάχα πῦρ ἐστι τὰ πεπυρωμένα βέλη τοῦ πονηροῦ.

„Καὶ [7]) ἐξελέξατο τὴν φυλὴν Ἰούδα,“ κ. τ. ε. „Πρόδηλον [8]) γάρ, ὅτι ἐξ Ἰούδα ἀνατέταλκεν ὁ κύριος ἡμῶν,“ φησὶν ὁ ἀπόστολος.

Ψαλμὸς ἑβδομηκοστὸς ὄγδοος.

„Ὅτι [9]) ἐπτωχεύσαμεν σφόδρα,“ κ. τ. ε. Στερηθέντες τοῦ πλούτου τῆς γνώσεως ἐπτωχεύσαμεν.

---

[1]) II Cor. VI, 16. coll. Levit. XXVI, 12. et Ezech. XXXVI, 28.

[2]) Psalm. LXXVIII, 56. (LXXVII.)

[3]) Psalm. LXXVIII, 57. (LXXVII.)

[4]) Psalm. LXXVIII, 60. (LXXVII.)

[5]) Psalm. LXXVIII, 62. (LXXVII.)

[6]) Psalm. LXXVIII, 63. (LXXVII.)

[7]) Psalm. LXXVIII, 68. (LXXVII.)

[8]) Hebr. VII, 14.

[9]) Psalm. LXXIX, 8. (LXXVIII.)

Ψαλμὸς ἑβδομηκοστὸς ἔννατος.

„Ἐξέγειρον[1]) τὴν δυναστείαν σου,“ κ. τ. ε. Χριστὸς θεοῦ δύναμις καὶ θεοῦ σοφία.

„Ψωμιεῖς[2]) ἡμᾶς ἄρτον δακρύων,“ κ. τ. ε. Διὰ τούτων τῶν ῥητῶν παρίστησι πικροτάτην μετάνοιαν.

„Καὶ[3]) ἐπίφανον τὸ πρόσωπόν σου, καὶ σωθησόμεθα,“ κ. τ. ε. Πρόσωπον ἐνταῦθα τὸν Χριστὸν ὠνόμασεν· „εἰκὼν[4]) γάρ ἐστι τοῦ θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως.“

„Ἄμπελον[5]) ἐξ Αἰγύπτου μετῆρας,“ κ. τ. ε. Ἄμπελον λέγει νῦν τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.

„Καὶ[6]) αἱ ἀναδενδράδες αὐτῆς τὰς κέδρους τοῦ θεοῦ,“ κ. τ. ε. Ἀναδενδράδες εἰσὶν οἱ θεωρητικοί.

„Γενηθήτω[7]) ἡ χείρ σου ἐπ᾽ ἄνδρα δεξιᾶς σου,“ κ. τ. ε. Ἄνδρα δεξιὸν λέγει τὸν Χριστὸν, ὅστις ἐστὶ καὶ υἱὸς ἀνθρώπου.

„Ζωώσεις[8]) ἡμᾶς, καὶ τὸ ὄνομά σου ἐπικαλεσόμεθα,“ κ. τ. ε. Οὐδεὶς δύναται ζωοποιῆσαι ἡμᾶς, εἰ μὴ ὁ εἰπών· „ἐγώ[9]) εἰμι ἡ ζωή.“

---

1) Psalm. LXXX, 2. (LXXIX.)
2) Psalm. LXXX, 5. (LXXIX.)
3) Psalm. LXXX, 7. (LXXIX.)
4) Coloss. I, 15.
5) Psalm. LXXX, 8. (LXXIX.)
6) Psalm. LXXX, 10. (LXXIX.)
7) Psalm. LXXX, 17. (LXXIX.)
8) Psalm. LXXX, 18. (LXXIX.)
9) Ev. Joann. XIV, 6.

Ψαλμὸς ὀγδοηκοστός.

„Γλῶσσαν,[1]) ἣν οὐκ ἔγνω, ἤκουσεν," κ. τ. ε. Νόμον ὃν οὐκ ἠπίστατο, ἤκουσεν.

„Οὐκ[2]) ἔσται ἐν σοὶ θεὸς πρόσφατος," κ. τ. ε. Πρόσφατός ἐστι θεὸς ὁ μηδὲν οὐσιῶσαι δυνάμενος, ἢ ὁ τῇ κακίᾳ πεποιωμένος.

„Πλάτυνον[3]) τὸ στόμα σου, καὶ πληρώσω αὐτό," κ. τ. ε. Στόμα νῦν τὸν νοῦν λέγει, ὅστις λαμπρύνεται διὰ πολιτείας ὀρθῆς καὶ δογμάτων ἀληθῶν.

„Καὶ[4]) ἐξαπέστειλα αὐτοὺς κατὰ τὰ ἐπιτηδεύματα τῶν καρδιῶν αὐτῶν," κ. τ. ε. „Διὰ[5]) τοῦτο, φησὶν ὁ Παῦλος, παρέδωκεν αὐτοὺς ὁ θεὸς εἰς πάθη ἀτιμίας."

Ψαλμὸς ὀγδοηκοστὸς πρῶτος.

„Ὑμεῖς[6]) δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε," κ. τ. ε. „Ἐγὼ,[7]) φησὶν, ἐφύτευσα ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν· πῶς ἐστράφης εἰς πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία;"

Ψαλμὸς ὀγδοηκοστὸς δεύτερος.

„Εἶπον·[8]) δεῦτε, καὶ ἐξολοθρεύσωμεν αὐτοὺς ἐξ ἔθνους, καὶ οὐ μὴ μνησθῇ τὸ ὄνομα Ἰσραὴλ ἔτι," κ. τ. ε.

---

[1]) Psalm. LXXXI, 5. (LXXX.)
[2]) Psalm. LXXXI, 9. (LXXX.)
[3]) Psalm. LXXXI, 10. (LXXX.)
[4]) Psalm. LXXXI, 12. (LXXX.)
[5]) Rom. I, 26.
[6]) Psalm. LXXXII, 7. (LXXXI.)
[7]) Jerem. II, 21.
[8]) Psalm. LXXXIII, 4. (LXXXII.)

Ἐντεῦθεν γινώσκομεν, ὅτι προκαλοῦνται ἀλλήλους οἱ δαίμονες ἐπ' ἀπωλείᾳ ψυχῆς.

„Οἵτινες[1]) εἶπον· κληρονομήσωμεν ἑαυτοῖς τὸ ἁγιαστήριον τοῦ θεοῦ," κ. τ. ε. Ψυχὴ ἀκάθαρτος κλῆρος δαιμόνων· ψυχὴ δὲ καθαρὰ κλῆρος θεοῦ.

„Ὁ[2]) θεός μου. θοῦ αὐτοὺς ὡς τροχόν," κ. τ. ε. Ὁ τροχὸς ὀλίγον ἐφάπτεται τῆς γῆς.

„Πλήρωσον[3]) τὰ πρόσωπα αὐτῶν ἀτιμίας," κ. τ. ε. Τοῦτο τὸ πρόσωπόν ἐστι τοῦ παλαιοῦ ἀνθρώπου τοῦ φθειρομένου κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης· οὗ φθαρέντος ὁ νοῦς ἐκζητεῖ τὸ ὄνομα κυρίου.

„Αἰσχυνθήτωσαν[4]) καὶ ταραχθήτωσαν εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, καὶ ἐντραπήτωσαν καὶ ἀπολέσθωσαν," κ. τ. ε. Αὕτη ἡ ἀπώλεια σημαίνει φθορὰν κακίας καὶ ἀγνωσίας.

Ψαλμὸς ὀγδοηκοστὸς τρίτος.

„Μακάριοι[5]) οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου," κ. τ. ε. Αὐτὸς μὲν ὁ Δαυὶδ ἐπιθυμεῖ εἰσελθεῖν εἰς τὰς αὐλὰς τοῦ κυρίου, μακαρίζει δὲ τοὺς κατοικοῦντας ἐν τῷ οἴκῳ κυρίου.

Ψαλμὸς ὀγδοηκοστὸς τέταρτος.

„Ἀφῆκας[6]) τὰς ἀνομίας τῷ λαῷ σου, ἐκάλυψας πάσας τὰς ἁμαρτίας αὐτῶν," κ. τ. ε. Διὰ μὲν τοῦ

---

[1]) Psalm. LXXXIII, 12. (LXXXII.)
[2]) Psalm. LXXXIII, 13. (LXXXII.)
[3]) Psalm. LXXXIII, 16. (LXXXII.)
[4]) Psalm. LXXXIII, 17. (LXXXII.)
[5]) Psalm. LXXXIV, 4. (LXXXIII.)
[6]) Psalm. LXXXV, 2. (LXXXIV.)

ἁγίου βαπτίσματος ὁ κύριος τὰς ἁμαρτίας ἀφίστησι, διὰ δὲ τῆς πικρᾶς μετανοίας τὰς ἁμαρτίας ἐπικαλύπτει.

„Ἔλεος[1]) καὶ ἀλήθεια συνήντησαν, δικαιοσύνη καὶ εἰρήνη κατεφίλησαν,“ κ. τ. ε. Ἀδύνατόν ἐστιν εἰρήνην συναφθῆναι δικαιοσύνῃ, μὴ ἀληθείας ἐλέῳ συναντησάσης. Τὸ μὲν γὰρ ἔλεος τὴν δικαιοσύνην γεννᾷ, ἡ δὲ ἀλήθεια τὴν εἰρήνην. Δικαιοσύνη δὲ καὶ εἰρήνη περὶ πρᾶξιν καὶ θεωρίαν λαμβάνεται.

„Δικαιοσύνη[2]) ἐνώπιον αὐτοῦ προπορεύσεται,“ κ. τ. ε. Ἡ ἄρχουσα τῶν πρακτικῶν ἀρετῶν ἡ δικαιοσύνη ἐστὶν, ἀφ' ἧς καὶ οἱ ἄνθρωποι δίκαιοι ὀνομάζονται.

Ψαλμὸς ὀγδοηκοστὸς πέμπτος.

„Σῶσον[3]) τὸν δοῦλόν σου ὁ θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σέ,“ κ. τ. ε. Ἡ γνῶσις ἡ τοῦ θεοῦ σωτηρία ἐστὶ ψυχῆς.

„Καὶ[4]) συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου,“ κ. τ. ε. Τὸ τάγμα τῶν δαιμόνων συναγωγὴν ὠνόμασε κραταιῶν.

Ψαλμὸς ὀγδοηκοστὸς ἕκτος.

„Μήτηρ[5]) Σιὼν ἐρεῖ· ἄνθρωπος, καὶ ἄνθρωπος ἐγενήθη ἐν αὐτῇ,“ κ. τ. ε. Τὸ μὲν παιδίον Ἰησοῦς γεννᾶται ἐν Βηθλεὲμ, ὁ δὲ ἄνθρωπος ἐν Σιὼν, διὰ τὸ πρᾶξιν μὲν τίκτεσθαι ἐν τῇ ψυχῇ, σοφίαν δὲ γεννᾶσθαι ἐν τῷ νῷ.

---

1) Psalm. LXXXV, 10. (LXXXIV.)
2) Psalm. LXXXV, 13. (LXXXIV.)
3) Psalm. LXXXVI, 2. (LXXXV.)
4) Psalm. LXXXVI, 14. (LXXXV.)
5) Psalm. LXXXVII, 5. (LXXXVI.)

„Ὡς[1]) εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί,“ κ. τ. ε. Πάντες οἱ εὐφραινόμενοι ἐπὶ γνώσει, κατοικοῦσιν ἐν τῇ σοφίᾳ· καὶ πάντες οἱ κατοικοῦντες ἐν τῇ σοφίᾳ, ὡς σοφίᾳ εὐφραίνονται ἐπὶ γνώσει.

Ψαλμὸς ὀγδοηκοστὸς ἕβδομος.

„Καὶ[2]) ἡ ζωή μου τῷ ᾅδῃ προσήγγισεν,“ κ. τ. ε. Ἐὰν μεταλάβῃς τὸν ᾅδην εἰς τὸν θάνατον, γνώσῃ πῶς ὁ θάνατος διαφθείρει ζωὴν ἀνθρώπου. Ἅιδην δὲ νῦν ὀνομάζει τὸν διάβολον, ζωὴν δὲ ἑαυτόν.

„Ὡσεὶ[3]) τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι,“ κ. τ. ε. Ἐκείνου μνημονεύει ὁ κύριος τοῦ ἐν ᾧ γίνεται· κἀκείνου οὐ μνημονεύει τοῦ ἐν ᾧ οὐ γίνεται.

„Καὶ[4]) αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν,“ κ. τ. ε. Χεῖρα νῦν λέγει τὴν γνῶσιν τὴν τοῦ θεοῦ, ἥτις πέφυκε βοηθεῖν τοῖς πολεμουμένοις.

„Ἐπ᾽[5]) ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου,“ κ. τ. ε. Τὸν θυμὸν τοῦ θεοῦ ἔστησεν ὁ Χριστὸς κατὰ πάντων ὁρμήσαντα τῶν ἀνθρώπων. Διότι „πάντες[6]) ἐξέκλιναν, ἅμα ἠχρειώθησαν· οὐκ ἔστι ποιῶν χρηστότητα.“

„Μὴ[7]) τοῖς νεκροῖς ποιήσεις θαυμάσια;“ κ. τ. ε. Οἱ ἐστερημένοι τῆς ζωῆς οὐ δύνανται ἰδεῖν τὰ θαυμάσια τῆς ζωῆς τῆς εἰπούσης· „ἐγώ[8]) εἰμι ἡ ζωή.“

---

1) Psalm. LXXXVII, 7. (LXXXVI.)
2) Cfr. Psalm. LXXXVIII, 3. (LXXXVII.)
3) Cfr. Psalm. LXXXVIII, 5. (LXXXVII.)
4) Psalm. LXXXVIII, 5. (LXXXVII.)
5) Psalm. LXXXVIII, 7. (LXXXVII.)
6) Psalm. XIV, 3. (XIII.)
7) Psalm. LXXXVIII, 10. (LXXXVII.)
8) Ev. Joann. XIV, 6.

„Μὴ[1]) διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;" κ. τ. ε. Ὥσπερ ἐν τοῖς ἀπολωλόσιν οὐκ ἔστιν ἀλήθεια, οὕτως ἐν τοῖς ἐσκοτισμένοις οὐκ ἔστι θαυμάσια.

„Καὶ[2]) ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ." κ. τ. ε. Γῆ ἐπιλελησμένη ἐστὶ ψυχὴ λογικὴ, τῶν τοῦ ἁγίου πνεύματος ἐστερημένη καρπῶν.

„Οἱ[3]) φοβερισμοί σου ἐξετάραξάν με," κ. τ. ε. Φοβερισμοὺς λέγει δυνάμεις τινὰς ἀκαθάρτους καὶ ταραχώδεις.

Ψαλμὸς ὀγδοηκοστὸς ὄγδοος.

„Τὰ[4]) ἐλέη σου, κύριε, εἰς αἰῶνα ᾄσομαι. Εἰς γενεὰν καὶ γενεὰν ἀπαγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου," κ. τ. ε. Τὸ μὲν ἔλεος τοὺς ἀνθρώπους οἰκοδομεῖ, ἡ δὲ ἀλήθεια ἑτοιμάζει τὰς ἁγίας δυνάμεις.

„Ἐξομολογήσονται[5]) οἱ οὐρανοὶ τὰ θαυμάσιά σου," κ. τ. ε. „Ἐξομολογήσονται" ἀντὶ τοῦ· „δοξάσουσι."

„Θαβὼρ[6]) καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται," κ. τ. ε. Θαβὼρ ἐκλεκτόν. Θαβὼρ δέ ἐστι τὸ ὄρος τῆς Γαλιλαίας, ἐφ' οὗ μεμορφώθη Χριστός. Ἑρμωνιεὶμ δέ ἐστι τὸ ὄρος, ἐφ' οὗ κεῖται ἡ πόλις Ναΐμ, ἐν ᾗ ἤγειρε τὸν τῆς χήρας υἱὸν ὁ Χριστός.

„Καὶ[7]) ἐν τῇ εὐδοκίᾳ σου ὑψωθήσεται τὸ κέρας ἡμῶν," κ. τ. ε. Κέρας νῦν τὸν νοῦν ὀνομάζει· ὑψοῦται δὲ νοῦς διὰ γνώσεως θεοῦ.

---

[1]) Psalm. LXXXVIII, 11. (LXXXVII.)
[2]) Psalm. LXXXVIII, 12. (LXXXVII.)
[3]) Psalm. LXXXVIII, 16. (LXXXVII.)
[4]) Psalm. LXXXIX, 1. (LXXXVIII.)
[5]) Psalm. LXXXIX, 5. (LXXXVIII.)
[6]) Psalm. LXXXIX, 12. (LXXXVIII.)
[7]) Psalm. LXXXIX, 17. (LXXXVIII.)

„Τότε[1]) ἐλάλησας ἐν ὁράσει τοῖς υἱοῖς σου,“ κ. τ. ε. Τότε ἐλάλησας διὰ τῶν ἁγίων προφητῶν.

„Ἐν[2]) ἐλαίῳ ἁγίῳ μου ἔχρισα αὐτόν,“ κ. τ. ε. Τὸ ἅγιον ἔλαιον τὴν τοῦ θεοῦ γνῶσιν σημαίνει, μᾶλλον δὲ τὴν οὐσιώδη γνῶσιν δηλοῖ.

„Οὐκ[3]) ὠφελήσει ὁ ἐχθρὸς ἐν αὐτῷ,“ κ. τ. ε. Εἰ, ὅταν ἁμαρτάνομεν, τοὺς ἐχθροὺς ἡμῶν ὠφελοῦμεν, Χριστὸς δὲ οὐχ ἥμαρτεν· ἄρα τοὺς ἐχθροὺς αὐτοῦ οὐκ ὠφέλησεν ὁ Χριστός.

„Καὶ[4]) θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ, καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ,“ κ. τ. ε. Ἐν μὲν τῇ θαλάσσῃ τίθεται ἡ χεὶρ τοῦ Χριστοῦ· ἐν δὲ τοῖς ποταμοῖς ἡ δεξιὰ αὐτοῦ. Πλὴν ἐὰν θελήσῃ, ἡ θάλασσα γίνεται ποταμός· καὶ πάλιν ὁ ποταμὸς, ἐὰν μὴ τηρήσῃ τὸν ἐκ τῆς κοιλίας αὐτοῦ ῥέοντα ποταμὸν τοῦ ζῶντος ὕδατος, γίνεται θάλασσα.

„Καὶ[5]) τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ,“ κ. τ. ε. Ὅταν γένηται τὸ θέλημα τοῦ θεοῦ ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς, τότε καὶ ὁ θρόνος τοῦ Χριστοῦ ἔσται ὡς αἱ ἡμέραι τοῦ οὐρανοῦ.

„Καὶ[6]) τὰς ἐντολάς μου μὴ φυλάξωσι,“ κ. τ. ε. Ὁ μὴ φυλάσσων τὰς ἐντολὰς τοῦ θεοῦ, ἐκπίπτει τοῦ εἶναι θρόνος θεοῦ· „εἰς[7]) γὰρ κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία, οὐδὲ κατοικήσει ἐν σώματι καταχρέῳ ἁμαρτίας.“

„Ἐπισκέψομαι[8]) ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν,“

---

1) Psalm. LXXXIX, 19. (LXXXVIII.)
2) Cfr. Psalm. LXXXIX, 20. (LXXXVIII.)
3) Psalm. LXXXIX, 22. (LXXXVIII.)
4) Psalm. LXXXIX, 25. (LXXXVIII.)
5) Psalm. LXXXIX, 29. (LXXXVIII.)
6) Psalm. LXXXIX, 31. (LXXXVIII.)
7) Sap. Sal. I, 4.
8) Psalm. LXXXIX, 32. (LXXXVIII.)

κ. τ. ε. „Ὃν[1]) γὰρ ἀγαπᾷ κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται.“

„Τὸν[2]) θρόνον αὐτοῦ εἰς τὴν γῆν κατέῤῥαξας,“ κ. τ. ε. Εἰς γῆν ἀπ' οὐρανοῦ καταῤῥάσσεται νοῦς, ἀντὶ ἐπουρανίου χοϊκὸς γεγονώς.

„Ἐσμίκρυνας[3]) τὰς ἡμέρας τοῦ χρόνου αὐτοῦ,“ κ. τ. ε. Ἐκ τῆς ἐγκαταλείψεως μειοῦνται αἱ ἀρεταὶ καὶ αἱ γνώσεις ἡμῶν· αὐταὶ γάρ εἰσιν αἱ ἡμέραι τῆς φύσεως τῆς λογικῆς.

„Τίς[4]) ἐστιν ἄνθρωπος, ὃς ζήσεται καὶ οὐκ ὄψεται θάνατον; ῥύσεται τὴν ψυχὴν αὐτοῦ ἐκ χειρὸς ᾅδου;“ κ. τ. ε. Ἡ αὔξησις τῆς ἀρετῆς καὶ τῆς γνώσεως ἐκ τῆς κατὰ μικρὸν μειώσεως πασῶν τῶν κακιῶν καὶ τῆς ἀγνοίας ἐπισυμβαίνει· κακία δὲ καὶ ἀγνωσία θάνατος ψυχῆς λογικῆς· ζωὴ δὲ ἀρετὴ καὶ γνῶσις.

„Οὗ[5]) ὑπέσχον ἐν τῷ κόλπῳ μου πολλῶν ἐθνῶν,“ κ. τ. ε. Κόλπον νῦν τὴν ψυχὴν ὀνομάζει, διά τε καὶ τὴν γνῶσιν τὴν τοῦ θεοῦ ἀγαθὰ ὀνομάζεσθαι· ἀγαθὰ δὲ τὰ ἐν κόλποις πέφυκε βάλλεσθαι· „Πιστεύω[6]) γὰρ, φησὶ, τοῦ ἰδεῖν τὰ ἀγαθὰ κυρίου ἐν γῇ ζώντων.“

„Τὸ[7]) ἀντάλλαγμα τοῦ Χριστοῦ,“ κ. τ. ε. Τάχα ὁ κυριακὸς ἄνθρωπος.

---

[1]) Prov. III, 12. coll. Hebr. XII, 6.
[2]) Psalm. LXXXIX, 44. (LXXXVIII.)
[3]) Psalm. LXXXIX, 45. (LXXXVIII.)
[4]) Psalm. LXXXIX, 48. (LXXXVIII.)
[5]) Psalm. LXXXIX, 50. (LXXXVIII.)
[6]) Psalm. XXVII, 13. (XXVI.)
[7]) Psalm. LXXXIX, 51. (LXXXVIII.)

Ψαλμὸς ὀγδοηκοστὸς ἔννατος.

„Τὰ[1]) ἐξουδενώματα αὐτῶν ἔτη ἔσονται," κ. τ. ε. Ἐξουδενωθήσεται ἡ ζωὴ αὐτῶν.

„Τὰ[2]) ἔτη ἡμῶν ὡσεὶ ἀράχνη ἐμελέτων," κ. τ. ε. „Σκιὰ[3]) γὰρ ἡμῶν, φησὶν Ἰὼβ, ἐστὶν ὁ βίος ἐπὶ τῆς γῆς."

„Καὶ[4]) τὸ πλεῖον αὐτῶν κόπος καὶ πόνος," κ. τ. ε. Τὸ πλεῖον τῶν παρελθόντων ἐτῶν ἐν κόποις καὶ πόνοις γινόμεθα.

„Τὴν[5]) δεξιάν σου οὕτως γνώρισόν μοι," κ. τ. ε. Μὴ ἐπὶ κολάσει, ἀλλ' ἐπὶ φιλανθρωπίᾳ γνωρισάσθω σου ἡ δεξιά.

„Καὶ[6]) ἔσται ἡ λαμπρότης κυρίου τοῦ θεοῦ ἡμῶν ἐφ' ἡμᾶς," κ. τ. ε. Λαμπρότης ἐστὶ γνῶσις θεοῦ· καὶ γὰρ οἱ μετέχοντες αὐτῆς καλοῦνται λαμπρότητες· „ἐν[7]) ταῖς λαμπρότησι, φησὶ, τῶν ἁγίων, ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε."

„Καὶ[8]) τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον," κ. τ. ε. Ἔργα μὲν χειρῶν ἐστιν ἡ καθ' ἕκαστα πρᾶξις· ἔργον δὲ χειρῶν ἡ ἐκ τούτων ἐπισυμβαίνουσα γνῶσις.

Ψαλμὸς ἐνενηκοστός.

„Ἐν[9]) τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι," κ. τ. ε. Τὸ μετάφρενον σύμβολόν ἐστι καρδίας.

---

[1]) Psalm. XC, 5. (LXXXIX.)
[2]) Psalm. XC, 9. (LXXXIX.) [3]) Job. VIII, 9.
[4]) Psalm. XC, 10. (LXXXIX.)
[5]) Psalm. XC, 12. (LXXXIX.)
[6]) Psalm. XC, 17. (LXXXIX.)
[7]) Psalm. CX, 3. (CIX.)
[8]) Cfr. Psalm. XC, 17. (LXXXIX.)
[9]) Psalm. XCI, 4. (XC.)

„Ὅπλῳ[1]) κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ· οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ,“ κ. τ. ε. Ὅπλον Χριστοῦ, γνῶσις ἀληθής, καὶ ὁ κυκλούμενος ὑπ' αὐτῆς οὐ πτοηθήσεται.

„Ἀπὸ[2]) βέλους πετομένου ἡμέρας,“ κ. τ. ε. Ἀκάθαρτόν τινα δύναμιν νῦν βέλος ὠνόμασε.

„Ἀπὸ[3]) συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ,“ κ. τ. ε. Τὸν μεσημβρινὸν δαίμονά φασιν εἶναι τὸν τῆς ἀκηδίας.

„Καὶ[4]) μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου.“ κ. τ. ε. Εἰ βούλοιτό τις μὴ περιπεσεῖν μάστιγι, γενέσθω οἶκος θεοῦ.

„Τοῦ[5]) διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.“ κ. τ. ε. Ὁ ἐν μηδενὶ πταίων, οὗτος διαφυλάσσεται ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ.

„Μήποτε[6]) προσκόψῃς πρὸς λίθον τὸν πόδα σου.“ κ. τ. ε. Ὁ ποὺς μὲν τὴν ψυχὴν σημαίνει, ὁ δὲ λίθος τὴν ἁμαρτίαν.

„Καὶ[7]) δείξω αὐτῷ τὸ σωτήριόν μου,“ κ. τ. ε. Σωτήριον τοῦ θεοῦ ἐστιν ὁ Χριστός.

Ψαλμὸς ἐνενηκοστὸς πρῶτος.

„Ἐν[8]) δεκαχόρδῳ ψαλτηρίῳ μετ' ᾠδῆς ἐν κιθάρᾳ.“ κ. τ. ε. Ψαλτήριόν ἐστι νοῦς καθαρὸς ὑπὸ πνευματικῆς κινούμενος γνώσεως· κιθάρα δέ ἐστι ψυχὴ πρακτικὴ ὑπὸ τῶν ἐντολῶν τοῦ Χριστοῦ κινουμένη.

---

[1]) Psalm. XCI, 4. 5. (XC.)
[2]) Psalm. XCI, 5. (XC.) [3]) Psalm. XCI, 6. (XC.)
[4]) Psalm. XCI, 10. (XC.)
[5]) Psalm. XCI, 11. (XC.)
[6]) Psalm. XCI, 12. (XC.)
[7]) Psalm. XCI, 16. (XC.)
[8]) Psalm. XCII, 3. (XCI.)

„Ἀνὴρ[1]) ἄφρων οὐ γνώσεται," κ. τ. ε. Ἔκγονος ἀφροσύνης κακία, κακίας δὲ ἀγνωσία.

„Ὅτι[2]) ἰδοὺ, οἱ ἐχθροί σου ἀπολοῦνται," κ. τ. ε. Ἐχθρὸς ἀπολλύμενος γίνεται φίλος· τὴν γὰρ ἔχθραν αὐτοῦ ἠφάνισεν ὁ θεός.

„Καὶ[3]) τὸ γῆράς μου ἐν ἐλαίῳ πίονι," κ. τ. ε. Γῆρας δικαίου γνῶσις ἀληθής· καὶ νεότης αὐτοῦ ἀπάθεια ψυχῆς.

„Πεφυτευμένοι[4]) ἐν τῷ οἴκῳ κυρίου," κ. τ. ε. Οἱ δίκαιοι φυτευθέντες ἐν τῇ γνώσει τῇ τοῦ κυρίου, πολλοὺς ἐν τῷ κόσμῳ τούτῳ ἢ ἐν ταῖς ἐκκλησίαις ἐξανθήσουσιν ἀνθρώπους, διὰ τῆς πνευματικῆς διδασκαλίας καρποφοροῦντες αὐτούς.

„Καὶ[5]) οὐκ ἔστιν ἀδικία παρ' αὐτῷ," κ. τ. ε. Ἀδικία οὐκ ἔστι παρὰ θεῷ, διὰ τὸ εἶναι αὐτὸν κακίας ἀνεπίδεκτον.

Ψαλμὸς ἐνενηκοστὸς δεύτερος.

„Ἐπῆραν[6]) οἱ ποταμοὶ φωνὰς αὐτῶν," κ. τ. ε. Φύσεις λογικὰς ἁγίας ποταμοὺς ὀνομάζει, διὰ τὸ ῥεῖν ἐκ τῆς καρδίας αὐτῶν ποταμοὺς ὕδατος ζῶντος.

„Θαυμαστοὶ[7]) οἱ μετεωρισμοὶ τῆς θαλάσσης," κ.τ. ε. Θαυμαστὴ γίνεται ψυχὴ ἀρθεῖσα μετάρσιος, καὶ χωρισθεῖσα τῶν τοῦ βίου τούτου κυμάτων.

---

1) Psalm. XCII, 6. (XCI.)
2) Psalm. XCII, 9. (XCI.)
3) Cfr. Psalm. XCII, 10. (XCI.)
4) Psalm. XCII, 13. (XCI.)
5) Psalm. XCII, 15. (XCI.)
6) Psalm. XCIII, 3. (XCII.)
7) Psalm. XCIII, 4. (XCII.)

Ψαλμὸς ἐνενηκοστὸς τρίτος.

„Ἀπόδος[1]) ἀνταπόδοσιν ὑπερηφάνοις,“ κ. τ. ε. Ὑπερηφανία ἐστὶ καταφρόνησις κλήσεως ἀγαθῆς.

„Τὸν[2]) λαόν σου, κύριε, ἐταπείνωσαν,“ κ. τ. ε. „Ὃν[3]) ἀγαπᾷ κύριος, παιδεύει·“ φησὶν ὁ ἀπόστολος. Εἰ δὲ ὃν παιδεύει, μακαρίζει, πᾶς ὁ παιδευόμενος ὑπ' αὐτοῦ, ἀπαθὴς γενήσεται· τοῦτον γὰρ ἀγαπᾷ κύριος. Παιδεία γάρ ἐστι μετριοπάθεια παθῶν.

„Τοῦ[4]) πραῧναι αὐτὸν ἀφ' ἡμερῶν πονηρῶν,“ κ. τ. ε. Ἡμέρας πονηρὰς τὰς ἡμέρας τῆς κρίσεως λέγει, ἐν αἷς ὁ παιδευόμενος ὑπ' αὐτοῦ, καθαρὸς γενόμενος ἀπὸ παθῶν, ἀπολαύσει τῆς γνώσεως, ἀτάραχος διαμένων.

„Ἕως[5]) οὗ ὀρυγῇ τῷ ἁμαρτωλῷ βόθρος,“ κ. τ. ε. Βόθρον τὴν γέενναν ὠνόμασεν.

„Ἕως[6]) οὗ δικαιοσύνη ἐπιστρέψει εἰς κρίσιν,“ κ. τ. ε. Ἕως οὗ ὁ Χριστὸς κρίνει τὴν οἰκουμένην· αὐτὸς γὰρ „ἡμῖν[7]) ἐγενήθη σοφία ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις·“ καὶ[8]) „τὴν κρίσιν δὲ πᾶσαν αὐτῷ δέδωκεν ὁ πατήρ.“

„Τὸ[9]) ἔλεός σου, κύριε, ἐβοήθει μοι,“ κ. τ. ε. Ἐνταῦθα τὸ ἔλεος τοῦ Χριστοῦ τὴν πρόνοιαν αὐτοῦ σημαίνει, δι' ἣν ἄνθρωπος βοηθεῖται, ἤτοι ἐγκαταλείπεται. Ἀλλὰ βοηθεῖται μὲν ἐνεργούσης αὐτῆς ὁ ἄνθρωπος, ἐγκαταλείπεται δὲ ὑποχωρησάσης αὐτῆς.

---

1) Psalm. XCIV, 2. (XCIII.)
2) Psalm. XCIV, 5. (XCIII.)
3) Hebr. XII, 6. coll. Prov. III, 12.
4) Cfr. Psalm. XCIV, 13. (XCIII.)
5) Psalm. XCIV, 13. (XCIII.)
6) Cfr. Psalm. XCIV, 15. (XCIII.)
7) I Cor. I, 30. 8) Cfr. ev. Joann. V, 22.
9) Psalm. XCIV, 18. (XCIII.)

„Αἱ[1]) παρακλήσεις σου εὔφραναν τὴν ψυχήν μου,“ κ. τ. ε. Παράκλησίς ἐστιν ἀνάκτησις ψυχῆς ἀπὸ πόνων.

„Μὴ[2]) συμπροσέστω σοι θρόνος ἀνομίας,“ κ. τ. ε. Θρόνον ἀνομίας ὠνόμασε τὸν διάβολον, ἐπειδὴ καὶ θρόνος δικαιοσύνης ἐστὶν ὁ Χριστὸς, ὅστις ἀντίκειται τῷ διαβόλῳ.

„Καὶ[3]) κατὰ τὴν πονηρίαν αὐτῶν ἀφανιεῖ αὐτοὺς κύριος ὁ θεός,“ κ. τ. ε. Ἀφανιεῖ αὐτοὺς κακοὺς ὄντας, δηλονότι καλοὺς ποιῶν.

Ψαλμὸς ἐνενηκοστὸς τέταρτος.

„Ὅτι[4]) ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς,“ κ. τ. ε. Χεῖρα νῦν τὴν πρόνοιαν λέγει τοῦ θεοῦ.

„Δεῦτε,[5]) προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ,“ κ. τ. ε. Οὗτος προσπίπτει τῷ κυρίῳ ὁ τὴν ἔπαρσιν ὑπερηφανίας ἀπολιπών.

„Σήμερον[6]) ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε,“ κ. τ. ε. Τὸ σήμερον τὸν βίον τοῦτον σημαίνει· „Ἰησοῦς[7]) γάρ, φησὶ, Χριστὸς χθὲς καὶ σήμερον, καὶ εἰς τοὺς αἰῶνας· καὶ πάλιν· „ἄχρις[8]) οὗ τὸ σήμερον καλεῖται.“

„Αὐτοὶ[9]) δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου,“ κ. τ. ε. Ὁδοί εἰσι τοῦ κυρίου αἱ πρακτικαὶ ἀρεταὶ αἱ ἀπάγουσαι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

---

[1]) Cfr. Psalm. XCIV, 19. (XCIII.)
[2]) Cfr. Psalm. XCIV, 20. (XCIII.)
[3]) Cfr. Psalm. XCIV, 23. (XCIII.)
[4]) Psalm. XCV, 4. (XCIV.)
[5]) Psalm. XCV, 6. (XCIV.)
[6]) Psalm. XCV, 7. (XCIV.)
[7]) Hebr. XIII, 8. [8]) Hebr. III, 13.
[9]) Psalm. XCV, 10. (XCIV.)

„Ὡς[1]) ὤμοσα ἐν τῇ ὀργῇ μου, εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου,“ κ. τ. ε. Κατάπαυσις κυρίου, γνῶσις αὐτοῦ. Ὁ δὲ εἰσελθὼν εἰς αὐτὴν, ἀναπαύσεται ἐπ' αὐτῆς.

Ψαλμὸς ἐνενηκοστὸς πέμπτος.

„Ἄισατε[2]) τῷ κυρίῳ ᾆσμα καινόν,“ κ. τ. ε. Ὁ παλαιὸς ἄνθρωπος, ὁ φθειρόμενος κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, οὐ δύναται ᾆσαι ᾆσμα καινόν· τοῦ γὰρ καινοῦ ἀνθρώπου ἐστὶ τὸ ᾆσμα τὸ καινὸν, τοῦ γενομένου κατ' εἰκόνα τοῦ κτίσαντος αὐτόν.

„Φοβερός[3]) ἐστιν ἐπὶ πάντας τοὺς θεούς,“ κ. τ. ε. Εἰ φοβερός ἐστιν ὁ κύριος ἐπὶ πάντας τοὺς θεοὺς, πάντες οἱ θεοὶ φοβοῦνται τὸν κύριον.

„Εἴπατε[4]) ἐν τοῖς ἔθνεσιν, ὅτι κύριος ἐβασίλευσε,“ κ. τ. ε. Εἴπατε τοῖς ἀδίκοις, ὅτι δικαιοσύνη ἐβασίλευσε· καὶ τοῖς ἄφροσιν, ὅτι κυριεύει φρόνησις· καὶ τοῖς ψεύσταις, ὅτι δεσπόζει ἡ ἀλήθεια· καὶ τοῖς ἀγνοοῦσιν, ὅτι κεκράτηκεν ἡ γνῶσις.

„Εὐφραινέσθωσαν[5]) οἱ οὐρανοί,“ κ. τ. ε. Τουτέστιν, οἱ κατοικοῦντες ἐν τοῖς οὐρανοῖς.

„Τότε[6]) ἀγαλλιάσονται πάντα ξύλα τοῦ δρυμοῦ,“ κ. τ. ε. Ποῖα ἀγαλλιάσονται ξύλα; Λεγέτωσαν οἱ τὴν ἀλληγορίαν παραιτούμενοι.

---

[1]) Psalm. XCV, 11. (XCIV.)
[2]) Psalm. XCVI, 1. (XCV.)
[3]) Psalm. XCVI, 4. (XCV.)
[4]) Psalm. XCVI, 10. (XCV.)
[5]) Psalm. XCVI, 11. (XCV.)
[6]) Psalm. XCVI, 12. (XCV.)

Ψαλμὸς ἐνενηκοστὸς ἕκτος.

„Εὐφρανθήτωσαν[1]) νῆσοι πολλαί," κ. τ. ε. Νῆσός ἐστι νοῦς ἀκλινὴς, ὑπὸ τῶν τοῦ βίου τούτου κυμάτων περικτυπούμενος.

„Καὶ[2]) πῦρ ἐνώπιον αὐτοῦ προπορεύσεται," κ. τ. ε. Τὸ πῦρ τοῦτο καίει ξύλα, χόρτον, καλάμην, τουτέστι· τὰς ἕξεις τὰς μοχθηράς.

„Οἱ[3]) ἀγαπῶντες τὸν κύριον, μισεῖτε πονηρά," κ. τ. ε. Τουτέστιν· οἱ ἀγαπῶντες τὴν γνῶσιν, μισεῖτε πονηρά.

„Καὶ[4]) ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ," κ. τ. ε. Ἐξομολογεῖσθε μνημονεύοντες τῆς ἁγιωσύνης αὐτοῦ.

Ψαλμὸς ἐνενηκοστὸς ἕβδομος.

„Ἐναντίον[5]) τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ," κ. τ. ε. „Δικαιοσύνη[6]) γὰρ θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται ἐκ πίστεως εἰς πίστιν."

„Ποταμοὶ[7]) κροτήσουσι χειρὶ ἐπὶ τὸ αὐτό," κ. τ. ε. Εἰ τὰ χαρίσματα τοῦ πνεύματος τοῦ ἁγίου ποταμοὶ λέγονται κατὰ τό· „ποταμοὶ[8]) ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ζῶντος·" καλῶς οἱ μετέχοντες τούτων τῶν ποταμῶν, καὶ αὐτοὶ ποταμοὶ λέγονται. Σημειω-

---

1) Psalm. XCVII, 1. (XCVI.)
2) Cfr. Psalm. XCVII, 3. (XCVI.)
3) Cfr. Psalm. XCVII, 10. (XCVI.)
4) Psalm. XCVII, 12. (XCVI.)
5) Psalm. XCVIII, 2. (XCVII.)
6) Rom. I, 17.
7) Psalm. XCVIII, 8. (XCVII.)
8) Ev. Joann. VII, 38.

τέον δὲ καὶ τὸ „ἐπὶ τὸ αὐτὸ“ εἶναι τοὺς ποταμοὺς, ἵνα τὸ αὐτὸ λέγωσι πάντες, καὶ μὴ ᾖ ἐν αὐτοῖς σχίσματα.

Ψαλμὸς ἐνενηκοστὸς ὄγδοος.

„Σὺ [1]) ἡτοίμασας εὐθύτητας,“ κ. τ. ε. Εὐθύτητας, ἤτοι τοὺς εὐθεῖς, ἤτοι τὰς ἀρετάς.

„Καὶ [2]) προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ,“ κ. τ. ε. Τὸ ὑποπόδιον τῶν ποδῶν εἶπόν τινες εἶναι τὴν σάρκα τὴν τοῦ Χριστοῦ, ἥτις διὰ τὸν Χριστόν ἐστι προσκυνητή· ὁ δὲ Χριστὸς προσκυνητὸς διὰ τὸν ἐν αὐτῷ λόγον θεοῦ.

„Καὶ [3]) Σαμουὴλ ἐν τοῖς ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ,“ κ. τ. ε. Οὗτος ἐπικαλεῖται τὴν δικαιοσύνην ὁ δικαιοπραγῶν, καὶ τὴν ἀλήθειαν ὁ μὴ ψευδόμενος, καὶ τὴν ἀγάπην ὁ μὴ μισῶν.

„Ἐν [4]) στύλῳ νεφέλης ἐλάλει πρὸς αὐτούς,“ κ. τ. ε. Ὁ στύλος καὶ ἡ νεφέλη λογικαὶ φύσεις εἰσὶ, δι᾿ ὧν ἐλάλει πρὸς τοὺς ἁγίους ὁ κύριος.

„Ὑψοῦτε [5]) κύριον τὸν θεὸν ἡμῶν,“ κ. τ. ε. Ὑπὸ καθαροῦ νοῦ πέφυκεν ὑψοῦσθαι θεός.

Ψαλμὸς ἐνενηκοστὸς ἔννατος.

„Εἰσέλθετε [6]) εἰς τὰς πύλας αὐτοῦ,“ κ. τ. ε. Πύλαι σοφίας ἀρεταί· διὰ γὰρ αὐτῶν εἰσερχόμεθα εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

---

[1]) Psalm. XCIX, 4. (XCVIII.)
[2]) Psalm. XCIX, 5. (XCVIII.)
[3]) Psalm. XCIX, 6. (XCVIII.)
[4]) Psalm. XCIX, 7. (XCVIII.)
[5]) Psalm. XCIX, 9. (XCVIII.)
[6]) Psalm. C, 4. (XCIX.)

Ψαλμὸς ἑκατοστός.

„Ἔλεον[1]) καὶ κρίσιν ᾄσομαί σοι, κύριε,“ κ. τ. ε. Τὸν περὶ προνοίας καὶ κρίσεως ᾆσαι θέλει λόγον.

„Τὸν[2]) καταλαλοῦντα λάθρα τοῦ πλησίον αὐτοῦ, τοῦτον ἐξεδίωκον,“ κ. τ. ε. Χρήσιμον τὸ ῥητὸν πρὸς τοὺς καταλαλοῦντας.

„Πορευόμενος[3]) ἐν ὁδῷ ἀμώμῳ, οὗτός μοι ἐλειτούργει,“ κ. τ. ε. Χρηστέον τὸ ῥητὸν πρὸς τοὺς ἱερατικοὺς ὑπηρετουμένους ὑπὸ δούλων πονηροτάτων.

„Τοῦ[4]) ἐξολοθρεῦσαι ἐκ πόλεως,“ κ. τ. ε. Νῦν πόλιν κυρίου λέγει τὴν ἑαυτοῦ ψυχὴν, ἐν ᾗ πάντας ἀπέκτεινε λογισμοὺς παρανόμους.

Ψαλμὸς ἑκατοστὸς πρῶτος.

„Ἠγρύπνησα,[5]) καὶ ἐγενόμην ὡς στρουθίον μονάζον ἐπὶ δώματι,“ κ. τ. ε. Οὐδὲν ἄλλο τὸν νοῦν οὕτως ἀπεργάζεται κοῦφον ὡς ἀγρυπνία.

„Ὅτι[6]) σποδὸν ὡσεὶ ἄρτον ἔφαγον, καὶ τὸ πόμα μου μετὰ κλαυθμοῦ ἐκίρνων,“ κ. τ. ε. Χρήσιμον τὸ ῥητὸν πρὸς τοὺς παρὰ τὸν καιρὸν τοῦ πότου αὐλοῖς καὶ ᾠδαῖς τερπομένους.

„Κἀγὼ[7]) ὡσεὶ χόρτος ἐξηράνθην· σὺ δὲ, κύριε, εἰς τὸν αἰῶνα μένεις,“ κ. τ. ε. Ἐγὼ μὲν πρόσκαιρος καὶ θνητὸς, σὺ δὲ ἀΐδιος καὶ ἀθάνατος.

„Μὴ[8]) ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου,“ κ. τ. ε. Τῶν γινομένων ἡμερῶν ὑπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης.

---

1) Psalm. CI, 1. (C.) 2) Psalm. CI, 5. (C.)
3) Psalm. CI, 6. (C.) 4) Psalm. CI, 8. (C.)
5) Psalm. CII, 7. (CI.) 6) Psalm. CII, 9. (CI.)
7) Psalm. CII, 11. 12. (CI.)
8) Psalm. CII, 24. (CI.)

„Αὐτοὶ[1]) ἀπολοῦνται, σὺ δὲ διαμένεις,“ κ. τ. ε. Ἀπολοῦνται οἱ οὐρανοὶ οὐ κατ' οὐσίαν, ἀλλὰ κατὰ τὸ σχῆμα· „παράγει[2]) γὰρ, φησὶν ὁ ἀπόστολος, τὸ σχῆμα τοῦ κόσμου τούτου.“

Ψαλμὸς ἑκατοστὸς δεύτερος.

„Εὐλόγει[3]) ἡ ψυχή μου τὸν κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ,“ κ. τ. ε. Τὰ ἐντὸς τοῦ ἔσω ἀνθρώπου ἐστὶν ἡ νοητικὴ δύναμις, καὶ διανοητικὴ, καὶ ἐπιβλεπτικὴ, καὶ ἑρμηνευτικὴ, καὶ ἡ φανταστικὴ, καὶ ἡ μνημονευτική.

„Ἀνακαινισθήσεται[4]) ὡς ἀετοῦ ἡ νεότης σου,“ κ. τ. ε. Τὸ γῆρας ἀποδύεται ὁ ἀετὸς, ὡς καὶ ὁ ἄνθρωπος τὸν παλαιὸν ἄνθρωπον ἀποδύεται τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης.

„Ὅτι[5]) κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν,“ κ. τ. ε. Ὥσπερ ὕψωσε τοὺς ἐν οὐρανοῖς, οὕτως ἐλέησε τοὺς ἐπὶ γῆς φοβουμένους αὐτόν.

„Ἄνθρωπος,[6]) ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ οὕτως ἐξανθήσει,“ κ. τ. ε. Ἐνταῦθα ὁ ἄνθρωπος τὴν καθόλου φύσιν δηλοῖ· πᾶς γὰρ ἄνθρωπος πρόσκαιρος καὶ θνητὸς, εὐμάραντος καὶ πρόσκαιρος.

„Ὅτι[7]) πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει,“ κ. τ. ε. Μετὰ θάνατον ἡ ψυχὴ οὐχ ὑπάρχει ἐν τῷ βίῳ τούτῳ.

---

[1]) Psalm. CII, 26. (CI.) [2]) I Cor. VII, 31.
[3]) Psalm. CIII, 1. (CII.)
[4]) Psalm. CIII, 5. (CII.)
[5]) Psalm. CIII, 11. (CII.)
[6]) Psalm. CIII, 15. (CII.)
[7]) Psalm. CIII, 16. (CII.)

„Τὸ[1]) δὲ ἔλεος τοῦ κυρίου ἀπὸ τοῦ αἰῶνος καὶ ἕως τοῦ αἰῶνος εἰς τοὺς φοβουμένους αὐτόν,“ κ. τ. ε. Ἡ μὲν αἰσθητὴ ζωὴ οὐκ ἀΐδιος, τὸ δὲ ἔλεος τοῦ κυρίου ἀΐδιον.

„Καὶ[2]) ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν,“ κ. τ. ε. Υἱοὶ υἱῶν εἰσιν οἱ τοῦ αὐτοῦ πνεύματος τῆς υἱοθεσίας ἠξιωμένοι.

„Καὶ[3]) μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ,“ κ. τ. ε. Οὗτος μέμνηται τῶν ἐντολῶν, ὁ ζῶν κατ' αὐτάς.

„Καὶ[4]) ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει,“ κ. τ. ε. Ἡ μὲν δημιουργικὴ αὐτοῦ βασιλεία πάντων δεσπόζει· ἡ δὲ κατὰ γνῶσιν βασιλεία οὐ πάντων τῶν ἐπὶ γῆς, πάντων δὲ τῶν ἐν οὐρανοῖς δεσπόζει.

Ψαλμὸς ἑκατοστὸς τρίτος.

„Ἀναβαλλόμενος[5]) φῶς ὡς ἱμάτιον,“ κ. τ. ε. Ἱμάτιον κυρίου γνῶσις ἀληθὴς, ὁ δὲ ἐνδυόμενος αὐτὸ, φωτισθήσεται ὑπ' αὐτοῦ.

„Ἐκτείνων[6]) τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν,“ κ. τ. ε. Διὰ τί οὐκ εἶπεν· „ἐκτείνας·“ ἀλλ'· „ἐκτείνων;“ Ἢ ἅπαξ μὲν αὐτὸν κατ' οὐσίαν ἐξέτεινεν, ἀεὶ δὲ αὐτὸν ἐκτείνει κατὰ τὴν πρόνοιαν; Τοιοῦτόν ἐστι καὶ τὸ Ἰὼβ εἰρημένον· „ὁ[7]) ποιῶν Πλειάδα, καὶ Ἕσπερον, καὶ Ἀρκτοῦρον, καὶ ταμεῖα Νότου.“

„Ὁ[8]) ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ

---

[1]) Psalm. CIII, 17. (CII.)
[2]) Cfr. Psalm. CIII, 17. (CII.)
[3]) Psalm. CIII, 18. (CII.)
[4]) Psalm. CIII, 19. (CII.)
[5]) Psalm. CIV, 2. (CIII.)
[6]) Psalm. CIV, 2. (CIII.) [7]) Job. IX, 9.
[8]) Cfr. Psalm. CIV, 4. (CIII.)

τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα," κ. τ. ε. Τῷ μὲν Ἀβραὰμ οἱ ἄγγελοι ὡς πνεύματα ἐφάνησαν· τοῖς δὲ Σοδομίταις ὥσπερ πῦρ φλέγον.

„Ὁ [1]) θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς· οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος," κ. τ. ε. Ὁ μὲν Ἰὼβ εἶπε· „κρεμάσας [2]) τὴν γῆν ἐπὶ μηδενός·" ὁ δὲ Δαυίδ· „ἐπὶ [3]) τὴν ἀσφάλειαν αὐτῆς." Ἑκάτεροι δὲ ἀναιροῦσι τὸ εἶναι σώματι ἕτερον βαστάζον αὐτὴν ὑποκάτω· ἡ γὰρ ἀσφάλεια οὐκ ἔστιν οὐσία, ἀλλὰ τέχνη θεοῦ, ἀκίνητον τὴν γῆν ἐν τῇ σφαίρᾳ διαφυλάττουσα.

„Ἄβυσσος [4]) ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ," κ. τ. ε. Τὸ ἀκατάληπτον τῆς γνώσεως τοῦ θεοῦ διὰ τῆς ἀβύσσου παρίστησι.

„Ἀναβαίνουσιν [5]) ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτοῖς," κ. τ. ε. Λογικάς τινας διὰ τῶν λόγων τούτων αἰνίττεται φύσεις.

„Ὅριον [6]) ἔθου, ὃ οὐ παρελεύσονται," κ. τ. ε. Περὶ τῶν καταχθονίων δαιμόνων ταῦτα λέγεσθαί φασι.

„Ποτίζων [7]) ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ," κ. τ. ε. Ὑπερῷα θεοῦ φύσεις καθαραὶ ποτίζουσαι τοὺς ὑψηλοτέρους τῇ καρδίᾳ.

„Χορτασθήσεται [8]) τὰ ξύλα τοῦ πεδίου," κ. τ. ε. Ὁ δὲ Ἑβραῖος καὶ οἱ λοιποί· „τοῦ κυρίου" τεθείκασιν. Διεξελθὼν τὰ κάρπιμα, ἀναγκαίως μνημονεύει καὶ τῶν ἀκάρπων, ὡς ἀναγκαῖον τοῖς ἀνθρώποις καὶ αὐτὰ παρεχόντων χρείαν. Διὰ τοῦτο καὶ „κυρίου" αὐτὰ προσηγόρευσεν, ὡς αὐτοφυῆ [9]) καὶ οὐ χειρόκμητα, ἀλλὰ τῷ

---

[1]) Psalm. CIV, 5. (CIII.) [2]) Cfr. Job. XXVI, 7.
[3]) Psalm. CIV, 5. (CIII.)
[4]) Psalm. CIV, 6. (CIII.)
[5]) Psalm. CIV, 8. (CIII.)
[6]) Psalm. CIV, 9. (CIII.)
[7]) Psalm. CIV, 13. (CIII.)
[8]) Psalm. CIV, 16. (CIII.)
[9]) Ed. Ruaei: αὐτοφυᾶ.

θείῳ λόγῳ βλαστήσαντα. Διὸ καὶ ἐπήγαγεν· „αἱ[1]) κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας."

„Τοῦ αὐτοῦ." Ὥσπερ ἐστί τινα ξύλα τοῦ παραδείσου, οὕτω καὶ ξύλα πεδίου.

„Πέτρα[2]) καταφυγὴ τοῖς χοιρογρυλλίοις," κ. τ. ε. Ὁ χοιρογρυλλίου ἔχων κατάστασιν, προσφυγέτω τῇ πνευματικῇ πέτρᾳ τῇ ἀκολουθούσῃ ἐν τῇ ἐρήμῳ, καὶ ποτιζούσῃ τὸν Ἰσραήλ.

„Ὁ[3]) ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ," κ. τ. ε. Ὁ ἥλιος τῆς δικαιοσύνης ἔγνω νῦν τοὺς ἐν οἷς ἔδυ ποτέ.

„Ἀνέτειλεν[4]) ὁ ἥλιος καὶ συνήχθησαν," κ. τ. ε. Ἐν οἷς ἀνατέλλει ὁ ἥλιος τῆς δικαιοσύνης, ἐν τούτοις καὶ αἱ κακίαι κατὰ δύναμιν ὑπάρχουσιν.

„Ἐξελεύσεται[5]) ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας," κ. τ. ε. Ἔργον νῦν λέγει αὐτὴν τὴν ὕλην, περὶ ἣν ἡ ἐργασία· ἐργασίαν δὲ αὐτὴν τὴν τέχνην τὴν περὶ τὴν ὕλην γινομένην.

„Ἐκεῖ[6]) ἑρπετὰ, ὧν οὐκ ἔστιν ἀριθμός," κ. τ. ε. Τῶν ἑρπετῶν ἀνθρώπων διὰ τὴν κακίαν οὐκ ἔστιν ἀριθμός· „ὁ[7]) γὰρ ἀριθμῶν, φησὶ, πλήθη ἄστρων, καὶ πᾶσιν αὐτοῖς ὀνόματα καλῶν."

„Ἀντανελεῖς[8]) τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν," κ. τ. ε. Οἱ ἐκπίπτοντες τοῦ παρὰ τοῦ θεοῦ δοθέντος αὐτοῖς πνεύματος, γίνονται χοϊκοί.

„Ἐξαποστελεῖς[9]) τὸ πνεῦμά σου, καὶ κτισθήσον-

---

1) Psalm. CIV, 16. (CIII.)
2) Psalm. CIV, 18. (CIII.)
3) Psalm. CIV, 19. (CIII.)
4) Cfr. Psalm. CIV, 22. (CIII.)
5) Psalm. CIV, 23. (CIII.)
6) Psalm. CIV, 25. (CIII.)
7) Psalm. CXLVII, 4. (CXLVI.)
8) Psalm. CIV, 29. (CIII.)
9) Psalm. CIV, 30. (CIII.)

ται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς," κ. τ. ε. Ἣν Παῦλος ὁ ἅγιος ἐξανάστασιν εἴρηκε, ταύτην Δαυὶδ ἀνακαινισμὸν προσηγόρευσεν.

„Ὁ[1]) ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται," κ. τ. ε. Τὰ καπνιζόμενα ὄρη ἀποβάλλει τὴν κακίαν, ἁπτομένου αὐτῶν τοῦ πνευματικοῦ πυρὸς τοῦ βληθέντος ἐπὶ τὴν γῆν.

„Ἐκλείποισαν[2]) ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς," κ. τ. ε. Οὐχί· μὴ ὑπάρχειν αὐτούς· ἀλλά· μὴ ὑπάρχειν αὐτοὺς ἁμαρτωλούς.

Ψαλμὸς ἑκατοστὸς τέταρτος.

„Διηγήσασθε[3]) πάντα τὰ θαυμάσια αὐτοῦ," κ. τ. ε. Ὁ κτησάμενος πᾶσαν τὴν γνῶσιν τὴν τοῦ θεοῦ, οὗτος δύναται διηγεῖσθαι πάντα τὰ θαυμάσια αὐτοῦ.

„Ζητήσατε[4]) τὸν κύριον," κ. τ. ε. Ὁ τὰς ἐντολὰς ποιῶν τοῦ θεοῦ, οὗτος ζητεῖ αὐτόν.

„Ζητήσατε[5]) τὸ πρόσωπον αὐτοῦ διαπαντός," κ. τ. ε. Τοῦτο λέγει τὸ πρόσωπον ζητεῖν ἡμᾶς, ὅπερ οἱ ἄγγελοι βλέπουσι διαπαντός.

„Σπέρμα[6]) Ἀβραὰμ δοῦλοι αὐτοῦ," κ. τ. ε. Οἱ τοῦ σπέρματος ὄντες τοῦ Ἀβραὰμ, δυνάμει εἰσὶν ἐκλεκτοί.

„Ἐμνήσθη[7]) εἰς τὸν αἰῶνα διαθήκης αὐτοῦ, λόγου οὗ ἐνετείλατο εἰς χιλίας γενεάς," κ. τ. ε. Τὰς χιλίας γενεὰς οἱ μὲν τὰς πολλὰς αὐτὸν λέγειν γενεὰς ἐνόμισαν, οἱ δὲ τὰς ὑπὸ τούτου τοῦ ἀριθμοῦ περιγραφομένας.

„Λέγων·[8]) σοὶ δώσω τὴν γῆν Χαναὰν, σχοίνισμα κληρονομίας ὑμῶν," κ. τ. ε. Πρὸ τῆς ἐπιδημίας Χριστοῦ

---

[1]) Psalm. CIV, 32. (CIII.)
[2]) Psalm. CIV, 35. (CIII.)
[3]) Psalm. CV, 2. (CIV.) [4]) Psalm. CV, 4. (CIV.)
[5]) Psalm. CV, 4. (CIV.) [6]) Psalm. CV, 6. (CIV.)
[7]) Psalm. CV, 8. (CIV.) [8]) Psalm. CV, 11. (CIV.)

οἱ Χαναναῖοι κατεῖχον ἡμῶν τὰς ψυχὰς, μὴ ἐῶντες ἡμᾶς καρποὺς ἐκφέρειν πνευματικούς.

„Οὐκ [1]) ἀφῆκεν ἄνθρωπον ἀδικῆσαι αὐτούς,“ κ. τ. ε. Ἐντεῦθεν γινώσκομεν, ὅτι οἱ ἀδικούμενοι ὑπὸ ἀνθρώπων, κατ' ἐγκατάλειψιν ἀδικοῦνται θεοῦ.

„Μὴ [2]) ἅπτεσθε τῶν χριστῶν μου,“ κ. τ. ε. Οὗτοι οἱ χριστοὶ Χριστοῦ μετέχοντες, λέγονται χριστοί· ὁ δὲ Χριστὸς τοῦ πατρὸς μετέχων, λέγεται Χριστός. Χριστὸν δέ φημι τὸν μετὰ τοῦ θεοῦ λόγου ἐπιδημήσαντα κύριον.

„Καὶ [3]) ἐκραταίωσεν αὐτὸν ὑπὲρ τοὺς ἐχθροὺς αὐτῶν,“ κ. τ. ε. Χωρὶς ἀρετῆς καὶ γνώσεως θεοῦ οὐκ ἄν τις γένοιτο τῶν ἐχθρῶν ἰσχυρότερος.

„Εἶπε [4]) καὶ ἦλθε κυνόμυια,“ κ. τ. ε. Τὴν κυνόμυιαν οἱ Ἑβραῖοι ἑρμηνεύουσι πλῆθος πάμμιγον ἀγρίων καὶ σαρκοβόρων θηρίων· οἱ δὲ Ἕλληνες λέγουσι κυνόμυιαν τὴν τοῦ κυνὸς τοῦ ὑλακτοῦντος μύιαν. [5])

„Καὶ [6]) ἐπάταξε τὰς ἀμπέλους αὐτῶν,“ κ. τ. ε. Ἐκ [7]) γὰρ τῆς ἀμπέλου Σοδόμων ἦσαν αἱ ἄμπελοι αὐτῶν, καὶ αἱ κληματίδες αὐτῶν ἐκ Γομόῤῥας.

„Εἶπε, [8]) καὶ ἦλθεν ἀκρίς,“ κ. τ. ε. Ἡ ἀκρὶς αὕτη κατεσθίει τὸ σπέρμα τὸ πονηρόν.

---

[1]) Psalm. CV, 14. (CIV.)
[2]) Cfr. Psalm. CV, 15. (CIV.)
[3]) Cfr. Psalm. CV, 24. (CIV.)
[4]) Psalm. CV, 31. (CIV.)
[5]) Ed. Ruaei: μύιαν.
[6]) Psalm. CV, 33. (CIV.)
[7]) Cfr. Deut. XXXII, 32.
[8]) Psalm. CV, 34. (CIV.)

Ψαλμὸς ἑκατοστὸς πέμπτος.

„Καὶ [1]) ἔσωσεν αὐτοὺς ἕνεκεν τοῦ ὀνόματος αὐτοῦ, τοῦ γνωρίσαι τὴν δυναστείαν αὐτοῦ,“ κ. τ. ε. Διὰ τοῦτο σώζει ἡμᾶς ὁ κύριος, ἵνα γνῶσιν ἡμῖν τῆς δυναστείας αὐτοῦ χαρίσηται.

„Εἷς [2]) ἐξ αὐτῶν οὐχ ὑπελείφθη,“ κ. τ. ε. Μακάριος οὗτος, ᾧ μηδεὶς τῶν ἐχθρῶν ὑπολείπεται.

„Οὐχ [3]) ὑπέμειναν τὴν βουλὴν αὐτοῦ, καὶ ἐπεθύμησαν ἐπιθυμίαν ἐν τῇ ἐρήμῳ,“ κ. τ. ε. Οὐκ ἀνέμειναν τὴν χάριν αὐτοῦ, ἀλλ' ἐπελάθοντο τῶν ἔργων αὐτοῦ, καὶ ἐπεθύμησαν ἐπιθυμίαν κακήν.

„Καὶ [4]) ἠλλάξαντο τὴν δόξαν αὐτῶν ἐν ὁμοιώματι μόσχου ἐσθίοντος χόρτον,“ κ. τ. ε. Οἱ δοξάζοντες κτίσμα παρὰ τὸν κτίσαντα, οὗτοι ἀλλάσσουσι τὴν δόξαν αὐτῶν. „Καὶ [5]) ἤλλαξαν, φησὶν ὁ Παῦλος, τὴν δόξαν τοῦ ἀφθάρτου θεοῦ ἐν ὁμοιώματι φθαρτοῦ ἀνθρώπου, καὶ πετεινῶν, καὶ τετραπόδων καὶ ἑρπετῶν.“

„Καὶ [6]) εἶπε τοῦ ἐξολοθρεῦσαι αὐτούς,“ κ. τ. ε. Ἡ ἐξολόθρευσις νῦν τὴν μετάθεσιν τὴν ἐκ τοῦ βίου τούτου σημαίνει.

„Εἰ [7]) μὴ Μωυσῆς ὁ ἐκλεκτὸς αὐτοῦ ἔστη ἐν τῇ θραύσει ἐνώπιον αὐτοῦ, τοῦ ἀποστρέψαι τὸν θυμὸν αὐτοῦ, τοῦ μὴ ἐξολοθρεῦσαι αὐτούς,“ κ. τ. ε. Σημειωτέον, ὅτι καὶ εἷς ἅγιος ὡς ὁ Μωυσῆς δυνατός ἐστιν ἀποστρέψαι ὀργὴν φερομένην ἐπ' ἔθνος ὅλον.

„Καὶ [8]) ἐξουδένωσαν γῆν ἐπιθυμητήν,“ κ. τ. ε. Ἡ γῆ ἐπιθυμητὴ, ἡ βασιλεία ἐστὶ τῶν οὐρανῶν.

---

1) Psalm. CVI, 8. (CV.)
2) Psalm. CVI, 11. (CV.)
3) Psalm. CVI, 13. 14. (CV.)
4) Psalm. CVI, 20. (CV.) 5) Rom. I, 23.
6) Psalm. CVI, 23. (CV.)
7) Psalm. CVI, 23. (CV.)
8) Psalm. CVI, 24. (CV.)

„Καὶ [1]) ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς," κ. τ. ε. Χεῖρα λέγει τὰς κολαστικὰς αὐτοῦ δυνάμεις.

„Καὶ [2]) ἐτελέσθησαν τῷ Βεελφεγώρ," κ. τ. ε. Βεελφεγὼρ, εἴδωλον τοῦ Βὴλ ἐν τῷ τόπῳ τοῦ Φεγώρ.

„Καὶ [3]) ἔφαγον θυσίας νεκρῶν," κ. τ. ε. Τελετὰς ἤγαγον τῷ Βεελφεγὼρ, μνησθέντες ἐν τοῖς μυστηρίοις αὐτοῦ.

„Καὶ [4]) ἔστη Φινεὲς καὶ ἐξιλάσατο," κ. τ. ε. Ἀνωτέρω μὲν λέγει, ὅτι ἔστη Μωυσῆς, καὶ ἀπέστρεψε τὴν ὀργὴν αὐτοῦ· ἐνταῦθα δὲ, ὅτι ἔστη Φινεὲς, καὶ οὐχὶ ἀπέστρεψε τὴν θραῦσιν, ἀλλ' ἐκόπασεν ἡ θραῦσις.

„Καὶ [5]) ἐμίγησαν ἐν τοῖς ἔθνεσι," κ. τ. ε. Μίγνυταί τις τοῖς ἔθνεσι δουλεύων γλυπτοῖς.

„Καὶ [6]) ἐπόρνευσαν ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν," κ. τ. ε. Πορνεύει ψυχὴ σπέρματα λαμβάνουσα τῆς ἀντικειμένης δυνάμεως, καὶ τίκτουσα τέκνα πονηρά.

„Καὶ [7]) ἐβδελύξατο τὴν κληρονομίαν αὐτοῦ," κ. τ. ε. Κληρονομία κυρίου ψυχαὶ λογικαί.

„Καὶ [8]) ἐκυρίευσαν αὐτῶν οἱ μισοῦντες αὐτούς," κ. τ. ε Δαίμονές εἰσιν οἱ μισοῦντες ἡμᾶς, καὶ θλίβοντες τὰς ψυχὰς ἡμῶν.

„Καὶ [9]) ἔδωκεν αὐτοὺς εἰς οἰκτιρμοὺς ἐναντίον πάντων τῶν αἰχμαλωτευσάντων αὐτούς," κ. τ. ε. Ἐντεῦθεν μανθάνομεν, ὅτι καὶ τοῦ ἐλεεῖσθαι ἡμᾶς ὁ κύριος ἀξίους ποιεῖ.

---

[1]) Psalm. CVI, 26. (CV.)
[2]) Psalm. CVI, 28. (CV.)
[3]) Psalm. CVI, 28. (CV.)
[4]) Psalm. CVI, 30. (CV.)
[5]) Psalm. CVI, 35. (CV.)
[6]) Psalm. CVI, 39. (CV.)
[7]) Psalm. CVI; 40. (CV.)
[8]) Psalm. CVI, 41. (CV.)
[9]) Psalm. CVI, 46. (CV.)

Ψαλμὸς ἑκατοστὸς ἕκτος.

„Ὅτι [1]) ἐχόρτασε ψυχὴν κενὴν," κ. τ. ε. Ψυχὴ κενή ἐστιν ἡ ἀρετῶν καὶ γνώσεως ἐστερημένη.

„Καὶ [2]) ἐξήγαγεν αὐτοὺς ἐκ σκότους καὶ σκιᾶς θανάτου," κ. τ. ε. Καθὸ φῶς ἐστιν ὁ κύριος, ἐξάγει ἡμᾶς ἐκ τοῦ σκότους· καθὸ δὲ ζωὴ, ἐκ θανάτου· καὶ πάλιν ὡς δυνατὸς διαῤῥήσσει δεσμούς.

„Πᾶν [3]) βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν," κ. τ. ε. Ὥσπερ οἱ νοσοῦντες πᾶν βρῶμα βδελύσσονται· οὕτως οἱ ἀκάθαρτοι πᾶσαν γνῶσιν ἀπωθοῦνται.

„Αὐτοὶ [4]) εἶδον τὰ ἔργα κυρίου, καὶ τὰ θαυμάσια αὐτοῦ ἐν τῷ βυθῷ," κ. τ. ε. Ὅσοι περισπασμοῖς πολλοῖς καὶ ποικίλοις διὰ τὴν τῆς ἀρετῆς ἐργασίαν περιπίπτουσιν, οὗτοι ὁρῶσι τὰ ἔργα κυρίου, τουτέστι τοὺς λόγους τῶν γεγονότων καὶ γινομένων.

„Καὶ [5]) πᾶσα ἡ σοφία αὐτῶν κατεπόθη," κ. τ. ε. Σοφίαν θεοῦ καταπίνει κακία· δικαιοσύνη δὲ κυρίου διαφθείρει κακίαν.

„Καὶ [6]) ἐσίγησε τὰ κύματα αὐτῆς," κ. τ. ε. Σιγὴν τῶν κυμάτων τὴν φθορὰν ὠνόμασε τῶν πειρασμῶν.

„Καὶ [7]) ἐπλάνησεν αὐτοὺς ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ," κ. τ. ε. Ἐγκατέλιπεν αὐτοὺς πλανωμένους, καὶ οὐκ ἀντελάβετο αὐτῶν διὰ τὴν κακίαν αὐτῶν.

---

1) Psalm. CVII, 9. (CVI.)
2) Psalm. CVII, 14. (CVI.)
3) Psalm. CVII, 18. (CVI.)
4) Psalm. CVII, 24. (CVI.)
5) Psalm. CVII, 27. (CVI.)
6) Psalm. CVII, 29. (CVI.)
7) Psalm. CVII, 40. (CVI.)

Ψαλμὸς ἑκατοστὸς ἕβδομος.

„Ἑτοίμη[1]) ἡ καρδία μου," κ. τ. ε. Ὁ ἀποθέμενος τὰ πάθη, οὗτος ἡτοίμασε τὴν καρδίαν τῷ θεῷ.

„Μωὰβ[2]) λέβης τῆς ἐλπίδος μου," κ. τ. ε. Λέβης ἐστὶν ὁ τῷ πνεύματι ζέων, καὶ ἐλπίζων ἐπὶ τὸν κύριον· ἥτις ἐλπὶς οὐ καταισχύνει τὸν ἐλπίζοντα.

„Ἐπὶ[3]) τὴν Ἰδουμαίαν ἐπιβαλῶ τὸ ὑπόδημά μου," κ. τ. ε. Ἡ σάρξ ἐστι τὸ ὑπόδημα τοῦ Χριστοῦ, ᾗ χρησάμενος ὁ κύριος ἐπεδήμησε τῷ βίῳ τῶν ἀνθρώπων.

Ψαλμὸς ἑκατοστὸς ὄγδοος.

„Καὶ[4]) διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ," κ. τ. ε. Ὧν ἐκκόπτει ὁ Σατανᾶς τὰ ἔργα τὰ δεξιὰ, τούτων ἕστηκεν ἐκ δεξιῶν. Ἐν δὲ τῷ Ζαχαρίᾳ φησί· „καὶ[5]) ἔδειξέ μοι κύριος Ἰησοῦν τὸν ἱερέα τὸν μέγαν, ἑστῶτα πρὸ προσώπου ἀγγέλου κυρίου, καὶ ὁ διάβολος εἱστήκει ἐκ δεξιῶν αὐτοῦ·" οὐχ ἁπλῶς δὲ, ἀλλά· „τῷ ἀντικεῖσθαι αὐτῷ." Οὐκ ἀντίκειται δὲ τῷ Ἰούδᾳ.

„Γενηθήτωσαν[6]) υἱοὶ αὐτοῦ ὀρφανοὶ, καὶ ἡ γυνὴ αὐτοῦ χήρα," κ. τ. ε. Οὐκ ἐπαρᾶσθαι ὁ δίκαιος, ἀλλὰ προσεύχεσθαί μοι δοκεῖ. „Εὐλογεῖτε[7]) γὰρ τοὺς ἐχθροὺς ἡμῶν, φησὶν ὁ ἀπόστολος· εὐλογεῖτε, καὶ μὴ καταρᾶσθε." Ὀρφανοὶ τοίνυν εἰσὶν λογισμοὶ πονηροὶ τὸν ἑαυτῶν θάψαντες πατέρα, τὸν Σατανᾶν· χήρα δὲ ψυχὴ, ἡ μὴ ἐπιλαβοῦσα σπέρματα παρὰ τοῦ διαβόλου. Εὖ δὲ καὶ

---

1) Psalm. CVIII, 1. (CVII.)
2) Psalm. CVIII, 9. (CVII.)
3) Psalm. CVIII, 9. (CVII.)
4) Psalm. CIX, 6. (CVIII.)
5) Zachar. III, 1. 2.
6) Psalm. CIX, 9. (CVIII.)
7) Cfr. Rom. XII, 14.

ἡ τάξις ἔχει. Πρότερον μὲν γὰρ περιαιρεῖ τὰς κατ' ἐνέργειαν ἁμαρτίας· ἔπειτα δὲ καὶ τὰ τούτων φαῦλα νοήματα.

„Γενηθήτω[1]) αὐτῷ ὡς ἱμάτιον, ὃ περιβάλλεται, καὶ ὡσεὶ ζώνη, ἣν διὰ παντὸς περιζώννυται," κ. τ. ε. Αὕτη ἡ ζώνη σημαίνει τὴν τοῦ ἐπιθυμητικοῦ ἄλογον πύρωσιν.

„Τὰ[2]) γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας," κ. τ. ε. Χρηστέον τῷ ῥητῷ πρὸς τοὺς καταφρονοῦντας τῆς ἐγκρατείας.

„Καταράσονται[3]) αὐτοὶ, καὶ σὺ εὐλογήσεις," κ. τ. ε. Τοῦτον εὐλογεῖ κύριος, ὃν ἀντικείμενοι καταρῶνται.

Ψαλμὸς ἑκατοστὸς ἔννατος.

„Μετὰ[4]) σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων," κ. τ. ε. Εἰ ἀρχὴ τοῦ υἱοῦ ὁ πατὴρ, ἡ δὲ ἀρχὴ ἦν μετὰ τοῦ Χριστοῦ, καλῶς λέγει ἐν τοῖς εὐαγγελίοις τό· „οὐκ[5]) εἰμὶ μόνος, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατήρ." Ἡμέραν δὲ δυνάμεως εἶπεν τὴν ἡμέραν τοῦ σταυροῦ, ἢ τῆς ἐνανθρωπήσεως.

„Ἐκ[6]) γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε," κ. τ. ε. Ἀντὶ τοῦ· πρὸ πάσης λογικῆς φύσεως ἐγέννησά σε. Τὸ γὰρ βαθύτερον περιεργάζεσθαι τὴν γένεσιν τοῦ Χριστοῦ καὶ τοῦ Ἑωσφόρου, οὐ τῆς ἡμετέρας ἐστὶ δυνάμεως. Πολὺς γὰρ ὁ περὶ τούτου λόγος καὶ δυσθεώρητος.

„Κρινεῖ[7]) ἐν τοῖς ἔθνεσι, πληρώσει πτώματα," κ. τ. ε.

---

[1]) Psalm. CIX, 19. (CVIII.)
[2]) Psalm. CIX, 24. (CVIII.)
[3]) Psalm. CIX. 28. (CVIII.)
[4]) Psalm. CX, 3. (CIX.)
[5]) Cfr. ev. Joann. XVI, 32.
[6]) Psalm. CX, 3. (CIX.) [7]) Psalm. CX, 6. (CIX.)

Πληροῖ πτώματα τοῦ παλαιοῦ ἀνθρώπου τοῦ φθειρομένου κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης.

Ψαλμὸς ἑκατοστὸς δέκατος.

„Ἐν[1]) βουλῇ εὐθέων καὶ συναγωγῇ μεγάλα τὰ ἔργα κυρίου," κ. τ. ε. Μεγάλα τὰ ἔργα κυρίου διὰ τὴν ἀποκειμένην ἐν αὐτοῖς σοφίαν ὠνόμασε.

„Τροφὴν[2]) ἔδωκε τοῖς φοβουμένοις αὐτόν," κ. τ. ε. Ἡ τροφὴ τῶν φοβουμένων τὸν κύριον ἡ σοφία ἐστὶ τοῦ θεοῦ· „ἀρχὴ[3]) γὰρ σοφίας φόβος κυρίου."

„Ἰσχὺν[4]) ἔργων αὐτοῦ ἀνήγγειλε τῷ λαῷ αὐτοῦ," κ. τ. ε. Τὴν θεωρίαν τῶν γεγονότων ἰσχὺν ἔργων αὐτοῦ ὀνομάζει· ἰσχὺς δὲ εἴρηται ἡ γνῶσις, διὰ τὸ ἰσχὺν ἐντιθέναι τῇ φύσει τῇ λογικῇ.

„Ἔργα[5]) χειρῶν αὐτοῦ ἀλήθεια καὶ κρίσις," κ. τ. ε. Ἡ μὲν ἀλήθεια ἐν τοῖς ὀρθοῖς δόγμασι θεωρεῖται, ἡ δὲ κρίσις ἐν τῇ πρακτικῇ. „Πισταὶ[6]) πᾶσαι αἱ ἐντολαὶ αὐτοῦ, ἐστηριγμέναι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος." Πιστὰς εἶπε τὰς ἐντολὰς ἀντὶ τοῦ· πίστεως ἀξίας. Ὃ γὰρ ὑπισχνοῦνται, τοῦτο καὶ ποιοῦσιν· ὑπισχνοῦνται δὲ κάθαρσιν ψυχῆς λογικῆς τοῖς γνησίως φυλάττουσιν αὐτάς.

---

1) Psalm. CXI, 1. 2. (CX.)
2) Psalm. CXI, 5. (CX.)
3) Psalm. CXI, 10. (CX.)
4) Psalm. CXI, 6. (CX.)
5) Psalm. CXI, 7. (CX.)
6) Psalm. CXI, 7. 8. (CX.)

Ψαλμὸς ἑκατοστὸς ἑνδέκατος.

„Ἐν[1]) ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα," κ. τ. ε. Οὗτος θέλει ἐν ταῖς ἐντολαῖς αὐτοῦ σφόδρα, ὁ μετὰ πάσης ἀκριβείας φυλάσσων αὐτάς.

„Δόξα[2]) καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ," κ. τ. ε. Ἡ σοφία τοῦ θεοῦ καθὸ μὲν ἀφθονίαν παρέχει θεωρημάτων, πλοῦτος καλεῖται, καθὸ δὲ παρασκευάζει τοὺς ἀνθρώπους δοξάζειν τὸν κεκτημένον αὐτὴν, ὀνομάζεται δόξα.

„Ἐξανέτειλεν[3]) ἐν σκότει φῶς τοῖς εὐθέσιν," κ. τ. ε. Ὁ σωτὴρ ἐν τοῖς εὐαγγελίοις φησὶ πρὸς τοὺς μαθητάς· „ὃ[4]) ἠκούσατε ἐν τῇ σκοτίᾳ, εἴπετε ἐν τῷ φωτί."

„Οἰκονομήσει[5]) τοὺς λόγους αὐτοῦ ἐν κρίσει," κ. τ. ε. Χρηστέον τῷ ῥητῷ πρὸς τοὺς ἀπερισκέπτως ἐκφέροντας τὰ θεῖα μυστήρια τῆς θείας γραφῆς, καὶ ἀδιακρίτως· καὶ γὰρ ὁ Παῦλός φησιν· „οὕτως[6]) ἡμᾶς λογιζέσθω ἄνθρωπος, ὡς ὑπηρέτας Χριστοῦ, καὶ οἰκονόμους τῶν μυστηρίων θεοῦ."

„Ἀπὸ[7]) ἀκοῆς πονηρᾶς οὐ φοβηθήσεται," κ. τ. ε. „Ἀκοῆς·" ἀντὶ τοῦ· „φήμης·" ὡς καὶ ἐν τῷ εὐαγγελίῳ γέγραπται· „ἐξῆλθεν[8]) ἡ ἀκοὴ αὐτοῦ εἰς ὅλην τὴν Συρίαν." Καὶ πάλιν· „μέλλετε[9]) ἀκούειν πολέμους, καὶ ἀκοὰς πολέμων."

„Τὸ[10]) κέρας αὐτοῦ ὑψωθήσεται ἐν δόξῃ," κ. τ. ε. Οὐδὲν οὕτω φοβεῖται ὁ Σατανᾶς, ὡς νοῦν ὑψωθέντα ἐν γνώσει θεοῦ.

---

[1]) Psalm. CXII, 1. (CXI.)
[2]) Psalm. CXII, 3. (CXI.)
[3]) Psalm. CXII, 4. (CXI.) [4]) Cfr. Matth. X, 27.
[5]) Psalm. CXII, 5. (CXI.) [6]) I Cor. IV, 1.
[7]) Psalm. CXII, 7. (CXI.)
[8]) Cfr. Matth. IV, 24. [9]) Cfr. Matth. XXIV, 6.
[10]) Psalm. CXII, 9. (CXI.)

„Ἐπιθυμία[1]) ἁμαρτωλοῦ ἀπολεῖται," κ. τ. ε. Εἰ ἡ ἐπιθυμία ἁμαρτωλοῦ ἀπολεῖται, ἡ δὲ ἁμαρτωλοῦ ἐπιθυμία ἐστὶ κακία, ἡ κακία ἄρα ἀπολεῖται τῶν ἁμαρτωλῶν.

Ψαλμὸς ἑκατοστὸς δωδέκατος.

„Ἀπὸ[2]) ἀνατολῶν ἡλίου μέχρι δυσμῶν αἰνετὸν τὸ ὄνομα κυρίου," κ. τ. ε. Ἀνατολαὶ μέν εἰσι φύσεις αἱ νοεραὶ, ἐν αἷς ὁ τῆς δικαιοσύνης ἥλιος ἀνατέλλει· δυσμαὶ δὲ καὶ τῶν ἀνθρώπων ψυχαὶ, ἐν αἷς ἔδυ ποτὲ ὁ πνευματικὸς καὶ ἐπουράνιος ἥλιος.

„Ὁ[3]) ἐν ὑψηλοῖς κατοικῶν, καὶ τὰ ταπεινὰ ἐφορῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ," κ. τ. ε. Οἰκεῖ μὲν ὁ θεὸς ἐν ταῖς ἁγίαις δυνάμεσι· προνοεῖται δὲ τῶν ταπεινῶν ἀνθρώπων, ἵνα γένηται τὸ θέλημα αὐτοῦ ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς.

„Ὁ[4]) ἐγείρων ἀπὸ γῆς πτωχὸν, καὶ ἀπὸ κοπρίας ἀνυψῶν πένητα," κ. τ. ε. Ψυχὴν μὲν ἐγείρει ἀπὸ κακίας ἐπ' ἀρετὴν ὁ θεὸς, νοῦν δὲ ἀπὸ ἀγνωσίας εἰς γνῶσιν προτρέπεται.

„Ὁ[5]) κατοικίζων στεῖραν ἐν οἴκῳ, μητέρα ἐπὶ τέκνοις εὐφραινομένην," κ. τ. ε. „Εὐφράνθητι[6]) στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα." Καὶ στεῖρα μὲν ἐγκαταλιπόντος θεοῦ γίνεται ψυχὴ, μήτηρ δὲ ἐνεργοῦντος.

---

1) Psalm. CXII, 10. (CXI.)
2) Psalm. CXIII, 3. (CXII.)
3) Psalm. CXIII, 5. 6. (CXII.)
4) Psalm. CXIII, 7. (CXII.)
5) Psalm. CXIII, 9. (CXII.)
6) Gal. IV, 27. coll. Jesai. LIV, 1.

Ψαλμὸς ἑκατοστὸς τρισκαιδέκατος.

„Ἐν[1]) ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακὼβ ἐκ λαοῦ βαρβάρου, ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ,“ κ. τ. ε. Εἰ ἁγίασμα τοῦ θεοῦ ἡ Ἰουδαία ἐστὶν, ἡ δὲ Ἰουδαία ἐξομολογούμενος ἑρμηνεύεται, πᾶσα ἐξομολογουμένη ψυχὴ ἁγίασμα τοῦ θεοῦ ἐστι.

„Τὰ[2]) ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων,“ κ. τ. ε. Τὰ ὄρη καὶ οἱ βουνοὶ νοεραὶ φύσεις εἰσὶ, χαίρουσαι ἐπὶ τῇ σωτηρίᾳ τοῦ Ἰσραήλ. Εἰ γὰρ χαίρουσιν οἱ ἐν τοῖς οὐρανοῖς ἐπὶ ἑνὶ μετανοοῦντι, πόσῳ μᾶλλον ἐπὶ τοσαύταις μυριάσιν ὁδευούσαις ἀπὸ κακίας πρὸς ἀρετὴν, καὶ ἀπὸ ἀγνωσίας ἐπὶ γνῶσιν θεοῦ.

„Τοῦ[3]) στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων, καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων,“ κ. τ. ε. Ὡς μὲν πρὸς τὴν ἱστορίαν, ἅπαξ ἐν τῇ ἐρήμῳ στρέψας τὴν πέτραν, ἐπότισε τὸν Ἰσραήλ· ὡς δὲ πρὸς τὸ πνεῦμα, ἀεὶ στρέφει τὴν πέτραν, ἥτις ἐστὶν ὁ Χριστὸς, καὶ ποτίζει τὸν πνευματικὸν Ἰσραήλ.

„Εὐλόγησε[4]) τοὺς φοβουμένους τὸν κύριον, τοὺς μικροὺς μετὰ τῶν μεγάλων,“ κ. τ. ε. Οὐχ οἱ μεγάλοι μετὰ τῶν μικρῶν εὐλογοῦνται, ἀλλ' οἱ μικροὶ μετὰ τῶν μεγάλων, ἵνα καὶ αὐτοὶ γένωνται μεγάλοι. Τὸ δὲ μικρὸν ἐνταῦθα καὶ τὸ μέγα οὐκ ἐπὶ τοῦ ἐκτὸς, ἀλλ' ἐπὶ τοῦ ἐντὸς νοητέον.

„Οὐχ[5]) οἱ νεκροὶ αἰνέσουσί σε, κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου. Ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶ-

---

[1]) Psalm. CXIV, 1. 2. (CXIII.)
[2]) Psalm. CXIV, 4. (CXIII.)
[3]) Psalm. CXIV, 8. (CXIII.)
[4]) Psalm. CXV, 13. (CXIII, 21.)
[5]) Psalm. CXV, 17. 18. (CXIII, 25. 26.)

νος," κ. τ. ε. Οὐ δύναται νεκρὸς αἰνέσαι τὴν ζωὴν τὴν εἰποῦσαν· „ἐγώ[1]) εἰμι ἡ ζωή." „Οὐδὲ[2]) πάντες." Οὐκ εἶπεν· „οἱ καταβάντες·" ἀλλ'· „οἱ καταβαίνοντες." „Ἀλλ'[3]) ἡμεῖς οἱ ζῶντες·" ὡς καὶ Παῦλος· „ἔπειτα[4]) ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι."

Ψαλμὸς ἑκατοστὸς τεσσαρακαιδέκατος.

„Ὅτι[5]) ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοὶ, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι," κ. τ. ε. Ἐπεὶ μὴ δυνάμεθα ἑαυτοὺς ἐκτείνειν πρὸς θεὸν εὐχόμενοι, αὐτὸς τὸ οὖς αὐτοῦ κλίνει πρὸς ἡμᾶς, καὶ ἐγγίζει ἡμῖν.

„Τοῦ αὐτοῦ." Ὁ τὸν ἥλιον τῆς δικαιοσύνης ἐπικαλούμενος, ἐν ταῖς ἡμέραις τούτου τοῦ ἡλίου διάγων ἐπικαλείσθω.

„Περιέσχον[6]) με ὠδῖνες θανάτου," κ. τ. ε. Ὁ ἐν βαρυτέροις γενόμενος πειρασμοῖς, καὶ βάσανον ἐν αὐτοῖς διδοὺς τῆς προαιρέσεως ἑαυτοῦ, ὡς καὶ ἐν κινδύνῳ τοῦ νικηθῆναι γενέσθαι, ἀλλὰ μὴ νικηθεὶς, λέγοι ἂν τό· „περιέσχον[7]) με ὠδῖνες θανάτου· κίνδυνοι ᾅδου εὕροσάν με." Οὐ ταὐτὸν δέ ἐστι τό· „ᾅδης εὗρέ με·" τῷ· „κίνδυνοι ᾅδου εὕροσάν με." Ὁ ᾅδης μὲν γὰρ εὑρίσκει τοῦτον, οὗ κατισχύουσιν αἱ πύλαι αὐτοῦ· κίνδυνοι δὲ ᾅδου μόνον εὑρίσκουσι τὸν διὰ τὸ μέγεθος τῶν πειρασμῶν κινδυνεύσαντα μὲν κρατηθῆναι ὑπὸ τῶν τοῦ ᾅδου πυλῶν, οὐ μὲν καὶ κρατηθέντα ὑπ' αὐτῶν.

„Θλίψιν[8]) καὶ ὀδύνην εὗρον," κ. τ. ε. Εὕρημά ἐστιν ἡ θλίψις τῷ ὑπομένοντι αὐτὴν, καὶ καυχωμένῳ

---

[1]) Ev. Joann. XIV, 6. [2]) Cfr. pag. 54. not. 5.
[3]) Cfr. pag. 54. not. 5. [4]) I Thess. IV, 17.
[5]) Psalm. CXVI, 2. (CXIV.)
[6]) Psalm. CXVI, 3. (CXIV.)
[7]) Psalm. CXVI, 3. (CXIV.)
[8]) Psalm. CXVI, 3. (CXIV.)

ἐν ταῖς θλίψεσι, καὶ ὁδεύοντι τὴν ἀπάγουσαν εἰς τὴν ζωὴν, οὖσαν στενὴν καὶ τεθλιμμένην ὁδόν. Οὕτω καλὸν δὴ εὕρημα καὶ ὀδύνη, ὅτε δι' ἀγάπην τις ὀδυνᾶται ὡς ὁ εἰπὼν Παῦλος· „λύπη[1]) μοί ἐστι μεγάλη, καὶ ἀδιάληπτος ὀδύνη τῇ καρδίᾳ μου," καὶ τὰ ἑξῆς.

„Καὶ[2]) τὸ ὄνομα κυρίου ἐπεκαλεσάμην," κ. τ. ε. „Πᾶς[3]) γὰρ, φησὶν, ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται. Τοιγαροῦν ὁ ἐλεήμων ἐπικαλείσθω τὸν ἐλεήμονα, καὶ τὴν δικαιοσύνην ὁ δίκαιος. Ἠχὼ γὰρ ὥσπερ τις ἡ ἐν ἡμῖν δικαιοσύνη τῆς πρώτης δικαιοσύνης κατὰ ἀνάκλασιν ἡμῖν ἐπισυμβαίνει.

„Ἐλεήμων[4]) ὁ κύριος καὶ δίκαιος, καὶ ὁ θεὸς ἡμῶν ἐλεεῖ," κ. τ. ε. Ἐπεὶ μετὰ δικαιοσύνης ἐλεεῖ ὁ κύριος, ἐλεήμων ἐστὶ καὶ δίκαιος. Οὐ δίκαιος δὲ ἐν τῷ ἐλεεῖν ἦν ὁ Σαοὺλ, ἐλεῶν τὸν Ἄγαγ. Καὶ εἰ ἦν δὲ πᾶν τὸ ἐλεεῖν δίκαιον, οὐκ ἂν περί τινων εἶπεν ὁ νόμος τό· „οὐκ[5]) ἐλεήσεις αὐτόν." Ἔστι δὲ καὶ τό· „ὁ[6]) ἐλεῶν ἐν ἱλαρότητι·" μετὰ δικαιοσύνης ἐλεεῖ.

„Ἐπίστρεψον[7]) ψυχή μου εἰς τὴν ἀνάπαυσιν," κ. τ. ε. Ἀνάπαυσις τῆς ψυχῆς ἡ τῶν ἁμαρτημάτων ἀποκοπή· κατατείνει γὰρ αὐτὴν ἡ ἁμαρτία, καὶ πάσας αὐτῆς τὰς δυνάμεις συντρίβει. Ὅθεν καὶ τὸ βάπτισμα, ὡς ἀπαλλαγὴν ἁμαρτημάτων ἔχον, ὕδωρ ἀναπαύσεως ὁ Δαυὶδ προσηγόρευσε. Τὴν ψυχὴν τοίνυν ὡς ἐν ἁμαρτίαις πλανηθεῖσαν ἐπιστρέψαι πρὸς τὴν ἀνάπαυσιν ἢ διὰ τοῦ βαπτίσματος, ἢ διὰ τῶν δακρύων καὶ τῆς μετανοίας προτρέπεται.

„Ὅτι[8]) ἐξείλετο τὴν ψυχήν μου," κ. τ. ε. Τοῦ

---

[1]) Rom. IX, 2. [2]) Psalm. CXVI, 4. (CXIV.)
[3]) Rom. X, 13. coll. Joel. II, 32. (III, 5.)
[4]) Psalm. CXVI, 5. (CXIV.)
[5]) Cfr. Deut. XIX, 13. [6]) Rom. XII, 8.
[7]) Psalm. CXVI, 7. (CXIV.)
[8]) Psalm. CXVI, 8. (CXIV.)

μηκέτι ἁμαρτάνοντος δηλονότι. „Ψυχὴ[1]) *γὰρ ἁμαρτάνουσα ἀποθανεῖται.“ Ὁ δὲ ἀλυπίαν ἀναλαβὼν ἐρεῖ, ὅτι κύριος ἐξείλετο τοὺς ὀφθαλμούς μου ἀπὸ δακρύων. Ἐρεῖ δὲ αὐτὸ καὶ ὁ τὸ μακαριζόμενον πένθος πενθήσας, ὅταν τυγχάνῃ τοῦ „γελάσονται,“ καὶ τοῦ „παρακληθήσονται.“ Ὁ δὲ ἀκούσας τοῦ· „σὺ δὲ αὐτὸς στῆθι μετ' ἐμοῦ·“ ἐρεῖ· „ἐξείλετο*[2]) *κύριος τοὺς πόδας μου ἀπὸ ὀλισθήματος.*

Ψαλμὸς ἑκατοστὸς πεντεκαιδέκατος.

„Ἐπίστευσα,[3]) *διὸ ἐλάλησα,“ κ. τ. ε. Εἰ μὴ βεβαίως τις καὶ ἀπερισπάστως ἐπίστευσε, μὴ διδασκέτω· γνησίου γὰρ διδασκάλου φωνὴ τό· „ἐπίστευσα, διὸ ἐλάλησα.“ Αὐτοῦ δὲ τούτου τῆς ἀτυφίας καὶ ταπεινοφροσύνης δεῖγμα, μηδαμῶς ἐπὶ τῷ διδάσκειν φυσιουμένου ἐκ τοῦ· „ἐγὼ*[4]) *δὲ ἐταπεινώθην σφόδρα.“*

„Τοῦ αὐτοῦ.“ Πίστις ἐστὶ ψυχῆς αὐτεξουσίου λογικὴ συγκατάθεσις.

„Ἐγὼ[5]) *δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· „πᾶς ἄνθρωπος ψεύστης,“ κ. τ. ε. Εἰ ἄνθρωπος καὶ ὁ Δαυὶδ, ψεύστης ἐστίν· εἰ δὲ ψεύστης ἐστὶ, λέγων σεαυτὸν ψεύστην, οὐκ ἔστι ψεύστης, ἀλλ' ἀληθής ἐστιν. Εἰ δὲ ἀληθής ἐστι, λέγων ἑαυτὸν ψεύστην, ἄνθρωπος ὢν οὐκ ἔστι ψεύστης. Περιστρέφει ἄρα ὁ λόγος εἰς ἀμφότερα, καὶ εἰς τὸ εἶναι αὐτὸν ἀληθευτὴν, ἐὰν ἄνθρωπος ᾖ, καὶ εἰς τὸ εἶναι αὐτὸν ψεύστην. Καὶ καλεῖται ὁ λόγος οὗτος παρὰ τοῖς διαλεκτικοῖς ἄπορος.*

---

1) Ezech. XVIII, 4.
2) Cfr. Psalm. CXVI, 8. (CXIV.)
3) Psalm. CXVI, 10. (CXV, 1.)
4) Psalm. CXVI, 10. (CXV, 1.)
5) Psalm. CXVI, 11. (CXV, 2.)

„Τοῦ αὐτοῦ.“ Ἐφ' ὅσον ἄνθρωπός τίς ἐστι, ψεύστης ἐστίν· ἐὰν δὲ ἀπόθηται τὸ εἶναι ἄνθρωπος, ἀληθευτής ἐστι. Τὸ γὰρ „ἄνθρωπος“ ὄνομα, ποτὲ μὲν οὐσίαν δηλοῖ, ὡς τό· „ἄνθρωπός[1]) τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι·“ ποτὲ δὲ χειρίστην κατάστασιν, κατὰ τό· „ὑμεῖς[2]) δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.“ Τὸ μὲν γὰρ οὐσίαν, τὸ δὲ κακίστην ἕξιν δηλοῖ.

„Τί[3]) ἀνταποδώσω τῷ κυρίῳ;“ κ. τ. ε. Ὡς μέγα οὖν ἐν τούτοις ἀπὸ κυρίου εὐεργετηθεὶς, καὶ βουλόμενος ἀμείψασθαι τὸν εὐεργέτην, ἀπορῶν περὶ τοῦ τρόπου τῆς ἀμοιβῆς φησι· „τί[4]) ἀνταποδώσω τῷ κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκέ μοι;“ Εἰς αἴσθησιν γὰρ ἐλθὼν τῶν μυρίων παρὰ θεοῦ δωρεῶν· ὅτι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη· ὅτι ἀπὸ γῆς διαπλασθεὶς, λόγῳ τετίμηται, ἐν ᾧ καὶ τὴν εἰκόνα φορεῖν δύναται τοῦ ἐπουρανίου· ἔπειτα καὶ πρὸς τὴν ὑπὲρ τοῦ γένους τῶν ἀνθρώπων οἰκονομίαν ἀπιδὼν, ὅτι ἑαυτὸν ὁ κύριος ἔδωκε λύτρον ἀντὶ πολλῶν ἡμῶν, ἐπαπορεῖ καὶ ζητεῖ ἐν πᾶσι τούτοις τοῖς ὑπάρχουσιν αὐτῷ, τί ἄξιον ἐξεύροι δῶρον τῷ δεσπότῃ· οὐ θυσίας, οὐδὲ ὁλοκαυτώσεις, ἀλλ' αὐτὴν πᾶσαν τὴν ἑαυτοῦ ζωήν.

„Διέῤῥηξας[5]) τοὺς δεσμούς μου,“ κ. τ. ε. Πρὸς τό· „τί[6]) ἀνταποδώσω τῷ κυρίῳ;“ δοκεῖ μοι ἀποδίδοσθαι πρῶτον μέν· „ποτήριον[7]) σωτηρίου λήψομαι·“ δεύτερον δὲ τό· „τὰς[8]) εὐχάς μου ἀποδώσω·“ τρίτον

---

1) Job. I, 1.
2) Psalm. LXXXII, 7. (LXXXI.)
3) Psalm. CXVI, 12. (CXV, 3.)
4) Psalm. CXVI, 12. (CXV, 3.)
5) Psalm. CXVI, 16. (CXV, 7.)
6) Psalm. CXVI, 12. (CXV, 3.)
7) Psalm. CXVI, 13. (CXV, 4.)
8) Psalm. CXVI, 14. (CXV, 5.)

τό· „σοὶ[1]) θύσω θυσίαν αἰνέσεως·" τέταρτον τό· „τὰς[2]) εὐχάς μου τῷ κυρίῳ ἀποδώσω." Ἀλλὰ τὸ μὲν πρότερον· „τὰς[3]) εὐχάς μου ἀποδώσω·" μόνον ἔχει τό· „ἐναντίον[4]) παντὸς τοῦ λαοῦ αὐτοῦ·" τὸ δὲ δεύτερον καὶ τό· „ἐν[5]) αὐλαῖς οἴκου κυρίου·" καὶ τό· „ἐν[6]) μέσῳ σου Ἱερουσαλήμ." Καὶ τὸ μὲν πρότερον· „τὰς[7]) εὐχάς μου τῷ κυρίῳ ἀποδώσω·" ἐπιφέρεται τῷ ποτηρίῳ[8]) τοῦ σωτηρίου· τὸ δὲ δεύτερον ἐπὶ πᾶσι καὶ συνημμένως τῷ· „διέῤῥηξας[9]) τοὺς δεσμούς μου·" καὶ τῷ· „σοὶ[10]) θύσω θυσίαν αἰνέσεως·" τὸ δέ· „σὺ[11]) διέῤῥηξας τοὺς δεσμούς μου·" τῷ τιμίῳ[12]) ἐναντίον κυρίου[13]) θανάτῳ· ὃ δοξάσας τοῦ μαρτυρίου τὸν θεὸν λέγει ἐπὶ τῷ διὰ μαρτυρίου τὰς προγενομένας σειρὰς τῶν ἁμαρτιῶν αὐτοῦ διεῤῥῆχθαι ἀπὸ θεοῦ, ὡς μηκέτι αὐτὸν ἔχειν δεσμοὺς ἁμαρτίας. Ἢ εἰ δεσμοὶ τῆς ψυχῆς οἱ σωματικοὶ τῶν διαφόρων μελῶν εἰσιν ὄγκοι, καλῶς ἂν καὶ οὕτως λέγοιτο ἐν μαρτυρίῳ ἀπολυθεὶς τῶν δεσμῶν ἐν εἰρήνῃ εἶναι, οὐδενὸς ἢ τοῦ θεοῦ διαῤῥήξαντος αὐτούς. Οὐ γὰρ καὶ τῶν δι' ἣν δήποτε αἰτίαν ἀπαλλαττομένων τοῦ σώματος βιαίως ὁ θεὸς διαῤῥήγνυσι τοὺς δεσμούς. Ποτὲ μὲν οὖν ἀποκτείνει ὁ θεὸς, οὐ διαῤῥηγνὺς αὐτοῦ τοὺς δεσμούς· τὸν δὲ μάρτυρα οὐκ

---

1) Psalm. CXVI, 17. (CXV, 8.)
2) Psalm. CXVI, 18. (CXV, 9.)
3) Psalm. CXVI, 14. (CXV, 5.)
4) Psalm. CXVI, 14. (CXV, 5.)
5) Psalm. CXVI, 19. (CXV, 10.)
6) Psalm. CXVI, 19. (CXV, 10.)
7) Psalm. CXVI, 14. (CXV, 5.)
8) Cfr. Psalm. CXVI, 13. (CXV, 4.)
9) Psalm. CXVI, 16. (CXV, 7.)
10) Psalm. CXVI, 17. (CXV, 8.)
11) Psalm. CXVI, 16. (CXV, 7.)
12) Cfr. Psalm. CXVI, 15. (CXV, 6.)
13) Ed. Ruaei: κυρίῳ.

ἀποκτείνει, μόνον δὲ τοὺς δεσμοὺς αὐτοῦ διαῤῥήγνυσι. Καὶ γὰρ διὰ τὸ μυστήριον ὁ ἕκαστος μαρτύρων ἑαυτὸν προσφέρει ἄμωμον θυσίαν τῷ θεῷ, Χριστὸν μιμούμενος· λέγει τε τό· „σοὶ[1]) θύσω θυσίαν αἰνέσεως.“ Ἐν Ἱερουσαλὴμ γὰρ ἐπουρανίῳ, τῇ ἄνω μητρὶ ἡμῶν, ἀποδώσει ὁ δίκαιος τὰς εὐχὰς τῷ κυρίῳ ἐπὶ παντὸς μάρτυρος τοῦ λαοῦ τοῦ θεοῦ, καὶ τῆς Ἱερουσαλὴμ, ἐν τόπῳ ἐκλεκτῷ· οὗτος δέ ἐστιν „ἐν[2]) αὐλαῖς οἴκου κυρίου, ἐν μέσῳ τῆς Ἱερουσαλήμ.“

„Τοῦ αὐτοῦ.“ „Διέῤῥηξας[3]) τοὺς δεσμούς μου.“ Οὐκ εἶπεν· „ἔλυσας·“ ἀλλά· „διέῤῥηξας·“ ὡς ἀχρήστους γενέσθαι. Δεσμοὺς ἐνταῦθα τὰς θλίψεις λέγει. Ἔστι γὰρ καὶ δεσμὸς καλὸς, ὡς ὅταν λέγῃ· „ἐν[4]) τῷ συνδέσμῳ τῆς ἀγάπης.“ Δεσμοὶ δὲ καὶ αἱ προσγινόμεναι σειραὶ τῶν ἁμαρτημάτων· οἵτινες οὐ διὰ τοῦ θείου μόνον βαπτίσματος διαῤῥήσσονται, ἀλλὰ καὶ διὰ τοῦ ὑπὲρ Χριστοῦ μαρτυρίου, καὶ διὰ δακρύων τῶν ἐκ μετανοίας.

Ψαλμὸς ἑκατοστὸς ἑπτακαιδέκατος.

„Εἰπάτω[5]) δὴ οἶκος Ἰσραήλ,“ κ. τ. ἑ. Τό· „εἰπάτω δὴ Ἰσραήλ·“ ἐν τούτῳ εἴρηται, καὶ ἐν τῷ· „εἰ[6]) μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ·“ ὄντι ἑκατοστῷ εἰκοστῷ ἕκτῳ,[7]) ὄντι τῶν ἀναβαθμῶν πέμπτῳ, καὶ ἐν τῷ ἑκατοστῷ εἰκοστῷ ὀγδόῳ, ὄντι τῶν ἀνα-

---

[1]) Psalm. CXVI, 17. (CXV, 8.)
[2]) Psalm. CXVI, 19. (CXV, 10.)
[3]) Psalm. CXVI, 16. (CXV, 7.)
[4]) Cfr. Hos. XI, 4.
[5]) Psalm. CXVIII, 2. (CXVII.)
[6]) Psalm. CXXIV, 1. (CXXIII.)
[7]) Cfr. pag. huj. not. 6.

βαθμῶν δεκάτῳ οὗ ἡ ἀρχή· „πλεονάκις[1]) *ἐπολέμησάν με, εἰπάτω δὴ Ἰσραήλ.“*

„Εἰπάτω[2]) *δὴ οἶκος Ἀαρών,“ κ. τ. ε. Ἐὰν μή τις ᾖ Ἰσραὴλ, ἢ οἶκος Ἀαρὼν, ἢ φοβούμενος τὸν κύριον, οὐ γεύεται τῆς χρηστότητος κυρίου, οὗ εἰς αἰῶνα τὸ ἔλεός ἐστι. Διὸ οὗτοι μόνοι ἐροῦσι τό· „εἰς*[3]) *τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.“ Οἷς, οἶμαι, τρισὶν οὖσι τάγμασι τρεῖς εἶναι γενικοὺς ἐλέους. Ἐπεὶ δὲ οἶκός ἐστι σύστημα νομίμως ἱδρυμένον πρὸς βίον, διὰ τοῦτο νῦν „ὁ οἶκος“ ἐπὶ τοῦ οἴκου Ἀαρὼν τέτακται. Καὶ σκόπει, εἰ δύναται ὁ ναὸς εἶναι οἶκος Ἀαρὼν, ὅπου οἱ ἱερεῖς τὴν λατρείαν ἐπιτελοῦσι. Κεχωρισμένους οὖν τοὺς ἱερεῖς εἰς τὴν ὑμνῳδίαν ἐκάλει, ὅτι καὶ πλείονος ἀπήλαυον αὐτοὶ τιμῆς, οὐ μόνον κατὰ τὸν τῆς ἱερωσύνης λόγον, ἀλλὰ καὶ κατὰ ἄλλα πάντα. Καὶ γὰρ ἡνίκα πῦρ κατηνέχθη, δι' αὐτοὺς κατηνέχθη, καὶ γῆ ἐσείσθη, καὶ ῥάβδος ἐβλάστησε· καὶ μυρία ἕτερα γέγονε δι' αὐτῶν καὶ ὑπὲρ αὐτῶν θαύματα.*

„Εἰπάτωσαν[4]) *δὴ πάντες οἱ φοβούμενοι τὸν κύριον,“ κ. τ. ε. Καὶ ἀνωτέρω λέγεται· Ἰσραὴλ ἤλπισεν ἐπικαλεῖσθαι τὸν κύριον· εἶτα οἶκος Ἀαρὼν, εἶτα οἱ φοβούμενοι τὸν κύριον· καὶ ἓν εἶναι τοὺς φοβουμένους τὸν κύριον, καὶ τὸν οἶκον Ἀαρὼν, καὶ τὸν Ἰσραὴλ, προλαβόντες εἰρήκαμεν. Διὸ κοινὴν αὐτοὺς ᾠδὴν προφέρειν ἐκέλευσε τὸν ἔλεον τοῦ θεοῦ καταγγέλλοντας. Ἔλεος γὰρ κυρίου ὑπὲρ πᾶσαν σάρκα, καὶ οὔτε περιτομὴ, οὔτε ἀκροβυστία χωρὶς ἐλέους σωθῆναι δύναται.*

„Ἐκ[5]) *θλίψεως ἐπεκαλεσάμην τὸν κύριον,“ κ. τ. ε. Ὁ τὴν στενὴν καὶ τεθλιμμένην ὁδεύων, ἐκ θλίψεως*

---

[1]) Cfr. Psalm. CXXIX, 1. (CXXVIII.)
[2]) Psalm. CXVIII, 3. (CXVII.)
[3]) Psalm. CXVIII, 3. (CXVII.)
[4]) Psalm. CXVIII, 4. (CXVII.)
[5]) Psalm. CXVIII, 5. (CXVII.)

ἐπικαλεῖται τὸν κύριον· ὁ δὲ τὴν πλατεῖαν, οὐδὲ ἐπικαλεῖται. „Πᾶς[1]) γὰρ, ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται."

„Οὐ[2]) φοβηθήσομαι, τί ποιήσει μοι ἄνθρωπος," κ. τ. ε. Ἄνθρωπον λέγει ἡ γραφὴ τὸν διάβολον, ὡς τό· „ἐχθρὸς[3]) ἄνθρωπος τοῦτο ἐποίησε·" τὴν τῶν ζιζανίων σποράν.

„Πάντα[4]) τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι κυρίου ἠμυνάμην αὐτούς," κ. τ. ε. Τῶν δαιμόνων οἱ μὲν ὡς πρακτικὸν, οἱ δὲ ὡς θεωρητικὸν ἐπολέμουν αὐτόν· καὶ τοὺς μὲν προτέρους τῇ δικαιοσύνῃ, τοὺς δὲ δευτέρους τῇ σοφίᾳ ἠμύνατο.

„Τοῦ αὐτοῦ." Χριστῷ μᾶλλον ὑπὸ πάντων ἐθνῶν πολεμουμένῳ ἁρμόζει ταῦτα λέγειν. Πολλά ἐστι δογμάτων εἴδη, ἅτινα ὁ ἅγιος τῇ σοφίᾳ τοῦ θεοῦ ἀμύνεται, ἀνατρέπων ὑγιεῖ λόγῳ.

„Ἐκύκλωσάν[5]) με ὡσεὶ μέλισσαι," κ. τ. ε. Ποιεῖ τι γλυκὺ ἕκαστον τῶν δογμάτων τῶν ἐθνῶν, γλυκάζον καὶ τέρπον τὸν ἀκροατήν· διόπερ οἱ πρεσβεύοντες αὐτὰ ὡς μέλισσαί εἰσιν, ἀλλ' οὐ μέλισσαι. Καὶ κατὰ τὸν Σολομῶντα δὲ „μέλι[6]) ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης·" ἥτις ἐστὶ ψευδώνυμος γνῶσις. Ὁ κολλώμενος πρὸς αὐτὴν, ἓν σῶμά ἐστιν αὐτῇ, ὡς ὁ τῷ κυρίῳ καὶ ἀληθεῖ λόγῳ ἓν πνεῦμα.

„Ἰσχύς[7]) μου καὶ ὕμνησίς μου ὁ κύριος," κ. τ. ε. Ἰσχὺς ὁ λόγος ἀναλαβόντος αὐτὸν, δι' ὃν „πάντα[8])

---

[1]) Rom. X, 13. coll. Joel. II, 32. (III, 5.)
[2]) Psalm. CXVIII, 6. (CXVII.)
[3]) Matth. XIII, 28.
[4]) Psalm. CXVIII, 10. (CXVII.)
[5]) Psalm. CXVIII, 12. (CXVII.)
[6]) Prov. V, 3.
[7]) Psalm. CXVIII, 14. (CXVII.)
[8]) Philipp. IV, 13.

ἰσχύω, φησὶν ὁ Παῦλος, ἐν τῷ ἐνδυναμοῦντί με Χριστῷ Ἰησοῦ.“ Οὗτος ὁ λόγος καὶ ὕμνησίς ἐστιν, ἐν ᾧ ἐστιν ἡ θεολογία. Καὶ θαῤῥοῦντος δὲ μάρτυρος εἴη ἡ φωνή· „ἰσχύς[1]) μου καὶ ὕμνησίς μου ὁ κύριος.“

„Οὐκ[2]) ἀποθανοῦμαι, ἀλλὰ ζήσομαι, καὶ διηγήσομαι τὰ ἔργα κυρίου,“ κ. τ. ε. Τῶν ζώντων ἐστὶ διηγεῖσθαι τὰ ἔργα κυρίου.

„Ἀνοίξατέ[3]) μοι πύλας δικαιοσύνης,“ κ. τ. ε. Ὥσπερ δικαιοσύνης, μιᾶς τῶν ἀρετῶν, εἰσὶ πύλαι αἱ κατ᾽ αὐτὴν πράξεις, οὕτως εἶεν ἂν καὶ φρονήσεως πύλαι, καὶ σωφροσύνης, καὶ ἀνδρείας, καὶ τῶν λοιπῶν ἀρετῶν, ἀνεῳγμέναι μὲν ἐν τῷ σπουδαίῳ, κεκλεισμέναι δὲ ἐν τῷ φαύλῳ. Εἰσὶ μέντοι γε καὶ τῶν κακιῶν πύλαι, ἠνοιγμέναι μὲν τῷ φαύλῳ διὰ τῶν κατὰ κακίαν πράξεων, ἀποκεκλεισμέναι δὲ ἐν τῷ ἀστείῳ. Μήποτε δὲ καὶ ἄλλως διὰ τό· „ἄρατε[4]) πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι·“ εἰσὶ πύλαι εἰς τὰς αἰωνίους μονὰς, ἑκάστη τῶν ἀρετῶν αἰώνιοι, δι᾽ ὧν καταλλήλως εἰσελεύσονται ταῖς πράξεσιν ἑαυτῶν οἱ σπουδαῖοι. Τὸν δὲ σωτῆρα ἐχρῆν διὰ πασῶν ἐξελθεῖν, ἐπαιρομένων καὶ μεγεθυνομένων ἀξίως τοῦ μεγέθους Χριστοῦ. Πάσας γὰρ ἀνέλαβε κατ᾽ ἀξίαν τῆς ὑποστάσεως πρωτοτόκου πάσης κτίσεως. Καὶ σκόπει, εἰ ὥσπερ τῷ σωτῆρι αἴρονται καὶ ἐπαίρονται, οὕτω κατ᾽ ἀξίαν ἑκάστῳ ἢ αἴρονται καὶ ἐπαίρονται, ἢ τίθενται, καὶ οὐκ ἐπαίρονται. Εἰσὶ δὲ καὶ ἔμψυχοι καὶ ζῶσαι αὗται αἱ πύλαι· διὸ λέγεται αὐταῖς τό· „ἐπάρθητε.“[5]) Καὶ τάχα οἱ ἄρχοντες καὶ αἱ πύλαι θανόμεναί φασι τό· „τίς[6]) ἐστιν οὗτος

---

[1]) Psalm. CXVIII, 14. (CXVII.)
[2]) Psalm. CXVIII, 17. (CXVII.)
[3]) Psalm. CXVIII, 19. (CXVII.)
[4]) Psalm. XXIV, 7. 9. (XXIII.)
[5]) Psalm. XXIV, 7. 9. (XXIII.)
[6]) Psalm. XXIV, 8. 10. (XXIII.)

ὁ βασιλεὺς τῆς δόξης;" Εἰσὶ μέντοι γε αἱ μὲν ὑπὸ πολλοὺς πύλαι δικαιοσύνης, ἡ δὲ τίς μόνου τοῦ κυρίου πύλη; Πύλας οὖν δικαιοσύνης τὰς διαφόρους τῆς ἀρετῆς ἰδέας καλεῖ· δι' ἐκείνων γὰρ δυνατὸν ἀξίως ὑμνῆσαι τὸν τῶν ὅλων θεόν. Καὶ τοῦτο σαφέστερον διὰ τῶν ἐπιφερομένων ἐδήλωσεν· οἷον γάρ τινα ἀπόκρισιν δίδωσι λέγων· „αὕτη [1]) ἡ πύλη τοῦ κυρίου."

„Τοῦ αὐτοῦ." Ὡς ἀνοίγονται πύλαι δικαιοσύνης, οὕτω καὶ σωφροσύνης καὶ ἀνδρείας καὶ ἀγάπης. Διὰ γὰρ τούτων τῶν πυλῶν εἰσέρχεται νοῦς εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

„Αὕτη [2]) ἡ πύλη τοῦ κυρίου," κ. τ. ε. Μετὰ τὸ εἰσελθεῖν διὰ τῶν πρακτικῶν ἀρετῶν εὑρήσομεν τὴν πύλην τῆς γνώσεως, ἥτις ἐστὶν ἡ θεωρία τῶν γεγονότων, σωμάτων καὶ ἀσωμάτων.

„Λίθον [3]) ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας," κ. τ. ε. Τοῦτο τὸ ῥητὸν εἰς Χριστὸν ἀναφέρεται· καὶ γὰρ αὐτὸς ἐν τοῖς εὐαγγελίοις ταύτην παράγει τὴν προφητείαν, λέγων· „οὐδέποτε [4]) ἀνέγνωτε· λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας;" Οἰκοδομοῦντας δὲ τοὺς Ἰουδαίους λέγει, τοὺς γραμματεῖς, τοὺς Φαρισαίους, ὅτι ἀπεδοκίμαζον αὐτὸν λέγοντες· „Σαμαρείτης [5]) εἶ, καὶ δαιμόνιον ἔχεις." Καὶ πάλιν· „οὗτος [6]) οὐκ ἔστιν ἐκ τοῦ θεοῦ, ἀλλὰ πλανᾷ τὸν ὄχλον."

„Παρὰ [7]) κυρίου ἐγένετο αὕτη," κ. τ. ε. Οὐκ ἦν ἀνθρώπινον τὸ γινόμενον, οὐκ ἦν ἑνὸς τῶν πολλῶν·

---

[1]) Psalm. CXVIII, 20. (CXVII.)
[2]) Psalm. CXVIII, 20. (CXVII.)
[3]) Psalm. CXVIII, 22. (CXVII.)
[4]) Matth. XXI, 42.
[5]) Cfr. ev. Joann. VIII, 48.
[6]) Cfr. ev. Joann. VII, 12.
[7]) Psalm. CXVIII, 23. (CXVII.)

οὐκ ἦν ἀγγέλων, οὐκ ἦν ἀρχαγγέλων τὸ τοιαύτην πλέξαι γωνίαν. Οὐδεὶς γὰρ ἴσχυεν, οὐ δίκαιος, οὐ προφήτης, οὐκ ἄγγελος, οὐκ ἀρχάγγελος, ἀλλὰ τοῦ θεοῦ τὸ κατόρθωμα. Τοῦτο ἦν αὐτοῦ ἰδικῶς τὸ ἔργον.

„Αὕτη[1]) ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ κύριος," κ. τ. ε. Ταύτην τὴν ἡμέραν οὐ νομοθέται, οὐ προφῆται πεποιήκασιν, ἀλλ' αὐτὸς ὁ τῆς δικαιοσύνης ἥλιος. Ἡμέραν δὲ λέγει τὴν γνῶσιν τοῦ Χριστοῦ.

„Τοῦ αὐτοῦ." Ἡμέραν ἐνταῦθα οὐχὶ τὸν δρόμον λέγει τὸν ἡλιακὸν, ἀλλὰ τὰ κατορθώματα τὰ ἐν αὐτῇ γινόμενα. Ὥσπερ γὰρ ἡμέραν πονηρὰν λέγει, οὐ τὸν δρόμον τοῦ ἡλίου, ἀλλὰ τὰ ἐν αὐτῇ κακά· οὕτως καὶ ἡμέραν ἀγαθὴν, τὰ ἐν αὐτῇ κατορθώματα. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· πάντα τὰ κατορθώματα τὰ ἐν αὐτῇ γινόμενα ὁ θεὸς ἐποίησε· τῆς γὰρ χειρὸς ἐκείνης μόνης ἦν τὰ γινόμενα. Τί γὰρ τῆς ἡμέρας ταύτης ἴσον γένοιτο ἂν, ἐν ᾗ καταλλαγὴ θεοῦ πρὸς ἀνθρώπους ἐγένετο, καὶ ὁ χρόνιος κατελύθη πόλεμος, καὶ οὐρανὸς ἀπεδείχθη ἡ γῆ, καὶ οἱ τῆς γῆς ἀνάξιοι ἄνθρωποι τῆς βασιλείας ἐφάνησαν ἄξιοι, καὶ ἡ ἀπαρχὴ τῆς φύσεως τῆς ἡμετέρας ὑπεράνω τῶν οὐρανῶν ἀνηνέχθη, καὶ παράδεισος ἠνοίγη, καὶ τὴν ἀρχαίαν ἀπελάβομεν πατρίδα, καὶ κατάρα ἠφανίσθη, καὶ ἡ ἁμαρτία ἐλύθη; Εἰ γὰρ καὶ πάσας τὰς ἡμέρας ἐποίησεν, ἀλλ' ἐκείνην ἐξαιρέτως, ἐπειδὴ τὰ μέγιστα ἐν αὐτῇ τῶν οἰκείων μυστηρίων ἐπλήρωσε. Διόπερ καὶ ἡμεῖς ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ διπλῆν τινα χαρὰν πανήγυριν ἄγοντες· μίαν μὲν, ὅτι τῆς αἰχμαλωσίας τοῦ διαβόλου ἐῤῥύσθημεν· δευτέραν δὲ, ὅτι καὶ πρὸς βασιλείαν οὐρανῶν ἀναγόμεθα.

„Εὐλογημένος[2]) ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου," κ. τ. ε. Καὶ ταύτην τὴν φωνὴν οἱ εὐαγγελισταὶ περὶ

[1]) Psalm. CXVIII, 24. (CXVII.)
[2]) Psalm. CXVIII, 26. (CXVII.)

Χριστοῦ προφητείαν εἶναι ἐξειλήφασιν· αὐτὸς γὰρ ἀληθῶς ἐστιν ὁ αὐθεντικῶς καὶ ἐν ὀνόματι τοῦ κυρίου ἐρχόμενος, πάντων τῶν παρ' αὐτοῦ ἀνδρῶν ὁμοῦ καὶ ἀγγέλων ἐληλυθότων ὡς κυρίου δούλων. Ἀμέλει τάδε λέγει κύριος, ἕκαστος ἔφη· καὶ ἕκαστος τῶν ἀγγέλων φησὶ πρὸς ὃν ἔρχεται· ὁ κύριος ἀπέστειλέ με. Ἀλλ' αὐτὸς ὁ ἐν ὀνόματι κυρίου ἐρχόμενος εὐλογημένος ἐστί.

„Θεὸς[1]) κύριος, καὶ ἐπέφανεν ἡμῖν," κ. τ. ε. Τὸ γὰρ ἐλθεῖν αὐτὸν, οὐ τόπον ἐστὶν ἀμεῖψαι, ἀλλ' ἐπιφανῆναι, πρότερον οὐχ ὁρώμενον· ὑπάρχων γὰρ ἀόρατος, τῷ εἶναι εἰκὼν Θεοῦ ἀοράτου, μορφὴν δούλου λαβὼν, καὶ γενόμενος ὁ λόγος σὰρξ ὤφθη, ἵν' οὕτω φανεὶς, χειραγωγήσῃ ἡμᾶς διὰ ταύτης τῆς κατανοήσεως εἰς τὸ καὶ τὴν δόξαν αὐτοῦ θεάσασθαι, δόξαν[2]) „ὡς μονογενοῦς παρὰ πατρὸς, πλήρης χάριτος καὶ ἀληθείας."

„Συστήσατε[3]) ἑορτὴν ἐν τοῖς πυκάζουσιν," κ. τ. ε. Οὗτοι πυκάζουσιν, οἱ φύλλοις καὶ καρποῖς κομῶντες· φύλλοις μὲν τοῖς καθήκουσι, καρποῖς δὲ ταῖς ἀρεταῖς. Καὶ γὰρ τὸ φύλλον[4]) αὐτῶν οὐκ ἀποῤῥυήσεται· καὶ τὸν καρπὸν αὐτῶν δώσουσιν ἐν καιρῷ αὐτῶν, διὰ τὸ γεγενῆσθαι αὐτοὺς ξύλα πεφυτευμένα παρὰ τὰς διεξόδους τῶν ὑδάτων.

„Τοῦ αὐτοῦ." Πυκάζοντα δὲ τὰ Χερουβὶμ φησι, τὰ ἐπισκιάζοντα τὸ ἱλαστήριον· τοῦτο γάρ ἐστι τό· „πυκάζουσι."[5]) Πυκάζειν γὰρ τὸ σκέπειν. Τὰ Χερουβὶμ δὲ ἔσκεπον ταῖς πτέρυξι τὸ ἱλαστήριον.

„Θεός[6]) μου εἶ σὺ, καὶ ἐξομολογήσομαί σοι," κ. τ. ε. Ἐνταῦθα δείκνυσιν, ὅτι καὶ χωρὶς τῶν εὐερ-

---

1) Psalm. CXVIII, 27. (CXVII.)
2) Ev. Joann. I, 14.
3) Cfr. Psalm. CXVIII, 27. (CXVII.)
4) Psalm. I, 3.
5) Psalm. CXVIII, 27. (CXVII.)
6) Psalm. CXVIII, 28. (CXVII.)

γεσιῶν δεῖ εὐχαριστεῖν τῷ θεῷ, καὶ διὰ τοῦτο αὐτὸν δοξάζειν, διὰ τὴν μεγαλοσύνην αὐτοῦ τῆς οὐσίας, διὰ τὴν ἀπόῤῥητον δόξαν. Τοῦτο γοῦν καὶ ἐνταῦθα αἰνίττεται, εἰπὼν τὰς εὐεργεσίας, ἃς εὐεργετήθη· καὶ χωρὶς τούτων, φησὶ, καὶ εὐχαριστήσω καὶ ἐξομολογήσομαι, ὅτι τοιοῦτον ἔχω δεσπότην, οὕτως ὑψηλὸν, οὕτω μέγαν, οὕτως ἀόρατον ἀκατάληπτον. Τὸ δέ· „ὑψώσω·“ [1]) „δοξάσω“ ἐστί.

„Ἐξομολογεῖσθε [2]) τῷ κυρίῳ, ὅτι ἀγαθός,“ κ. τ. ε. Οὐ μάτην ἐκ δευτέρου κατὰ τὸν παρόντα ψαλμὸν τὸν στίχον ὁ ψαλμῳδὸς ἐνέταξεν· ἡμᾶς δὲ πολλάκις τὴν αὐτὴν ᾠδὴν μελετᾷν ἄρα βουλόμενος, ἵνα μεμνημένοι, τίς ἡμῶν ἡ σωτηρία ἐγένετο, μηκέτι πρὸς τὸν ἐχθρὸν παλινδρομήσωμεν, ὅσπερ ἡμῖν εἰς ἀπώλειαν γέγονεν.

Ψαλμὸς ἑκατοστὸς ὀκτωκαιδέκατος.

„Μακάριοι [3]) οἱ ἄμωμοι ἐν ὁδῷ,“ κ. τ. ε. Τὰ στοιχεῖα τῆς ἀρχῆς τῶν λόγων τοῦ θεοῦ ὁ θεῖός ἐστι τόπος· περὶ ὧν καὶ διαλαμβάνει ὁ ἑκατοστὸς ὀκτωκαιδέκατος ψαλμὸς, κατὰ Ἑβραίων στοιχεῖα γεγραμμένος, ὥστε τοὺς μὲν πρώτους αὐτοῦ στίχους εἶναι ὀκτὼ ἀπὸ τοῦ Ἄλεφ· — ὅ ἐστιν ἀρχὴ τῶν παρ' αὐτοῖς στοιχείων· — τοὺς δὲ δευτέρους ὀκτὼ ἀπὸ Βὴθ, καὶ οὕτω καθεξῆς. Καὶ περιέχει γε ὁ ψαλμὸς οὗτος ὅλον τὸν τόπον τὸν ἠθικὸν μετὰ πάσης θεωρίας τῆς περὶ τῶν διαφόρων ἐν τοῖς ἠθικοῖς τόποις ὀνομάτων ἐν ταῖς γραφαῖς. Ἰστέον δὲ, ὡς ἄλλο μὲν νόμος, ἄλλο δὲ δικαίωμα, ἄλλο πρόσταγμα, ἄλλο μαρτύριον, ἄλλο κρίμα. Διὰ τοῦτο δὲ ἐνταῦθα τὰ στοιχεῖα προτέτακται, ἵνα δηλωθῇ τοῖς ἐν-

---

[1]) Psalm. CXVIII, 28. (CXVII.)
[2]) Psalm. CXVIII, 29. (CXVII.)
[3]) Psalm. CXIX, 1. (CXVIII.)

τυγχάνουσιν, ὅτι τὰ στοιχεῖά ἐστιν ἡ γνῶσις τοῦ ἠθικοῦ τόπου. Οὕτω καὶ οἱ ἑκατοστὸς ἑνδέκατος καὶ ἑκατοστὸς δωδέκατος ψαλμοὶ, τινὰ τρόπον κἀκεῖνοι ἠθικοὶ ὄντες, εἶχον τὴν ἀρχὴν τῶν στίχων ἀπὸ τῶν παρ᾽ Ἑβραίοις στοιχείων. Ἐκεῖ μὲν οὖν ἡ στοιχείωσις οὐκ ἐκτέταται, ἀλλὰ διὰ βραχέων παραδέδοται. Ἰστέον τοίνυν ὥσπερ ἄλλα, οὕτω καὶ ταῦτα ἐν πνεύματι ἁγίῳ γεγράφθαι, λόγον τε ἔχειν οὐκ εὐκαταφρόνητον. Καὶ ἡ αἰτία τοῦ ἕκαστον τῶν στοιχείων ὀκτάκις παρ᾽ Ἑβραίοις εἰρῆσθαι ἐν τούτῳ τῷ ψαλμῷ. Ἐλθὲ τοίνυν ἐπὶ τὸν ὄκτω ἀριθμὸν, καὶ εἴ που ὠνομάσθη ἐν τῇ γραφῇ, παραλάμβανε αὐτὸν, καὶ ἐπὶ τίνι εἴρηται, καὶ ἔσται σοι χρήσιμος ὁ λόγος πρὸς τὸ ἰδεῖν, ὅτι ἕκαστον στοιχεῖον τελείωσίς ἐστιν ἅμα τῷ ἀριθμῷ. Ὅταν δὲ τελειώμεθα ἐν τοῖς στοιχείοις, ὁ ἑπτὰ ἀριθμὸς προτιμητέος ἡμῖν, ὅτι δὴ καὶ τῇ ὕλῃ ἀνεῖται οὗτος· εἴπερ ἐστὶν ὁ ἑπτὰ σημεῖον ὑλικῆς παχύτητος· ὁ δὲ ὀκτὼ ἀρχὴ τῆς ἀϋλοτέρας καὶ μείζονος καταστάσεως. Εἰ γὰρ καὶ τὰ μάλιστά φαμεν καὶ τὸν ἓξ τὴν κοσμικὴν σχετικῶς ὕλην ὑποδηλοῦν, ἀλλ᾽ οὖν γε τὸν μὲν εἰς τὴν κατὰ ποσὸν ὁλότητα ἀναφέρομεν, τὸν δὲ εἰς τὴν καθ᾽ ἕξιν τελείωσιν, καθ᾽ ἣν τις ἀποσμήχεται τὰ ῥυπάσματα τῆς ψυχῆς, καὶ καθαίρεται. Πρὶν γὰρ ἔλθῃ ἡ ὀγδόη τοῦ κυρίου Ἰησοῦ Χριστοῦ ἡμέρα, ὅλος ὁ κόσμος ἀπερικάθαρτος ἦν καὶ ἀκρόβυστος· ὅτε δὲ ἦλθεν ἡ ὀγδόη τῆς ἀναστάσεως Χριστοῦ ἡμέρα, ἀθρόως πάντες ἐκαθαρίσθημεν ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ, συνταφέντες [1]) καὶ συναναστάντες, ὥς φησιν ὁ ἀπόστολος. Ἐπεὶ οὖν διὰ τῆς στοιχειώσεως καθαίρεται ἡμῶν ἡ ψυχὴ, μανθανόντων τὸν ἠθικὸν τόπον, καὶ τελειουμένων ἐν τῇ γνώσει αὐτοῦ, διὰ τοῦτο ὁ ὀκτὼ ἀριθμὸς παρελήφθη καθ᾽ ἕκαστον τῶν στοιχείων ἐν τῷ προκειμένῳ. Ἐν τούτῳ γοῦν τῷ ψαλμῷ τὴν τῶν ἁγίων διαγράφει πολιτείαν, τοὺς ἀγω-

[1]) Cfr. Rom. VI, 4. coll. Coloss. III, 1.

νας, τὰς θλίψεις, καὶ τὰ ἑξῆς. Ὁ δὲ μηδαμῆ μηδαμῶς ἁμαρτάνων, οὗτος ἂν εἴη ἄμωμος καὶ μὴν καὶ μακάριος.

„Τοῦ αὐτοῦ.“ Οὐ διὰ τὴν ἀμωμότητα μακάριος ἄνθρωπος ὀνομάζεται, ἀλλὰ διὰ τὴν γνῶσιν τὴν τοῦ θεοῦ, ἣν μέλλει κτᾶσθαι διὰ τῆς ἀμωμότητος· „μακάριοι [1]) γὰρ οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται.“

„Οὐ [2]) γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς αὐτοῦ ἐπορεύθησαν,“ κ. τ. ε. Εἰ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν ἐν ταῖς ὁδοῖς τοῦ θεοῦ οὐ πορεύονται, οἱ ἐργαζόμενοι δηλονότι τὴν δικαιοσύνην, ἐν ταῖς ὁδοῖς τοῦ θεοῦ πορευθήσονται. Οὐκοῦν ὁδοὶ τοῦ θεοῦ εἰσιν αἱ θεωρίαι τῶν γεγονότων, ἐν αἷς πορευσόμεθα δικαιοσύνην κατεργαζόμενοι. Εἰ δὲ ἡ δικαιοσύνη ἡμῶν ἐστιν ὁ Χριστός· — „ἐγενήθη [3]) γὰρ ἡμῖν σοφία παρὰ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις·“ — καλῶς λέγει ἐν ταῖς Παροιμίαις [4]) ὁ Σολομῶν τὴν σοφίαν ἀρχὴν εἶναι τῶν ὁδῶν τοῦ κυρίου, ἥτις ἐστὶν ὁ Χριστός. Λέγω δὲ Χριστὸν τὸν μετὰ τοῦ θεοῦ λόγον ἐπιδημήσαντα κύριον.

„Τοῦ αὐτοῦ.“ Εἴ τις ἀνομίαν ἐργάζεται, ἐκεῖνος οὐκ ἐν ὁδῷ κυρίου πορεύεται· διὸ οὐδὲ ἄμωμός ἐστιν ἐν ὁδῷ.

„Σὺ [5]) ἐνετείλω τὰς ἐντολάς σου φυλάξασθαι σφόδρα,“ κ. τ. ε. Ὁ μὴ κατὰ διάνοιαν ἁμαρτάνων, σφόδρα φυλάσσει τὰς ἐντολὰς τοῦ θεοῦ.

„Τοῦ αὐτοῦ.“ Ἔστι σφόδρα καὶ ἔστιν ἠρέμα φυλάσσεσθαι ἐντολὰς θεοῦ. Ἢ σφόδρα ἐνετείλατο ὁ θεὸς φυλάσσεσθαι τὰς ἐντολὰς αὐτοῦ.

„Ὄφελον [6]) κατευθυνθείησαν αἱ ὁδοί μου, τοῦ

---

[1]) Matth. V, 8. [2]) Psalm. CXIX, 3. (CXVIII.)
[3]) Cfr. I Cor. I, 30. [4]) Cfr. Prov. VIII, 22.
[5]) Psalm. CXIX, 4. (CXVIII.)
[6]) Psalm. CXIX, 5. (CXVIII.)

φυλάξασθαι τὰ δικαιώματά σου,“ κ. τ. ε. Οὐ γὰρ ἄλλως τὰ δικαιώματά σου φυλάξω, ἐὰν μὴ κατευθυνθῶσιν ὑπὸ σοῦ αἱ ὁδοί μου. Τίνα οὖν τὰ δικαιώματα ταῦτα, ἃ παραθέσεις ἐνώπιον τῶν υἱῶν Ἰσραήλ; ,,Ἐὰν[1]) κτήσῃ παῖδα ἑβραῖον, ἓξ ἔτη δουλεύσει σοι, τῷ ἑβδόμῳ ἐξαποστελεῖς αὐτὸν ἐλεύθερον,“ καὶ τὰ ἑξῆς. ,,Ὄφελον[2]) οὖν, φησὶ, κατευθυνθείησαν αἱ ὁδοί μου,“ ἵνα ὅσα ἐδικαίωσας, ταῦτα ἑκάστῳ κατὰ τὸ πρέπον ἀποδῶ.

,,Τότε[3]) οὐ μὴ αἰσχυνθῶ, ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου,“ κ. τ. ε. Οὐκ ,,ἐπί τινας,“ ἀλλ᾽· ,,ἐπὶ πάσας·“ κατ᾽ ἐκείνας γὰρ τὰς ἐντολὰς, ἃς μὴ βλέπω, αἰσχυνθήσομαι. Ἡμῖν δὲ πρὸς τὸ πνεῦμα τὸ θεῖον ἀφορῶσιν ἔσται τὸ μὴ αἰσχύνεσθαι, ἐπειδὰν συνηρμοσμένους αὐτῷ θεωρῶμεν ἡμᾶς αὐτοὺς ἁπανταχῇ, καὶ μηδαμῇ μετατιθεμένους πρὸς τὴν σάρκα, μηδὲ οἷον ἐκ μετεώρου πτώσεως κατενεχθέντας.

,,Τοῦ αὐτοῦ.“ Εἰ ὁ πάσας ποιήσας τὰς ἐντολὰς, πταίσας[4]) δὲ ἐν μιᾷ, γίνεται πάντων ἔνοχος, καλῶς γέγραπται· ,,τότε[5]) οὐ μὴ αἰσχυνθῶ, ἐν τῷ με ἐπιβλέπειν ἐπὶ πάσας τὰς ἐντολάς σου.“ Οἶδε γὰρ καὶ μία παραμεληθεῖσα ἐντολὴ αἰσχύνης ἡμῖν γίνεσθαι πρόξενος.

,,Ἐξομολογήσομαί[6]) σοι ἐν εὐθύτητι καρδίας,“ κ. τ. ε. Ὁ μηδέποτε εὐθύτητα καρδίας ἀνειληφὼς, ἀλλ᾽ ἔτι αὐτὴν ἔχων σκολιὰν, οὐκ ἐξωμολογήσατο οὐδέπω, εἰς τὸ παραδεχθῆναι τῷ θεῷ τὴν ἐξομολόγησιν αὐτοῦ. Πῶς οὖν τοῦτο γίνεται, δηλοῖ τὰ ἑξῆς.

,,Μή[7]) με ἐγκαταλίπῃς ἕως σφόδρα,“ κ. τ. ε. Μέ-

---

[1]) Cfr. Deut. XV, 12.
[2]) Psalm. CXIX, 5. (CXVIII.)
[3]) Psalm. CXIX, 6. (CXVIII.)
[4]) Cfr. Jacob. II, 10.
[5]) Psalm. CXIX, 6. (CXVIII.)
[6]) Psalm. CXIX, 7. (CXVIII.)
[7]) Psalm. CXIX, 8. (CXVIII.)

τρα ἔχει ἡ δύναμίς μου ἐν τῷ πειράζεσθαι· μή με, φησὶ, τοῖς ὑπὲρ δύναμιν πειρασμοῖς ὑποβάλῃς, μηδὲ σφόδρα ἐγκαταλίπῃς με. „Πιστὸς[1]) δὲ ὁ θεὸς, ὃς οὐκ ἐάσει ἡμᾶς πειρασθῆναι ὑπὲρ ὃ δυνάμεθα,“ καὶ τὰ ἑξῆς.

„Ἐν[2]) τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου, ὅπως ἂν μὴ ἁμάρτω σοι,“ κ. τ. ε. Ἁμαρτάνει τῷ θεῷ ὁ ἀξιωθεὶς λογίων ἀποῤῥητοτέρων, καὶ κρύπτεσθαι ἀπο πολλῶν κελευθεὶς, καὶ μὴ κρύπτων αὐτὰ ἀφ' ὧν δεῖ. Κίνδυνος γὰρ οὐ μόνον τὸ τὰ ψευδῆ λέγειν, ἀλλὰ καὶ τὸ τ' ἀληθῆ, ἐπὰν ὅλως μὴ δεῖ ἀπαγγέλλειν. Οὐ γὰρ δεῖ τοὺς μαργαρίτας[3]) βάλλεσθαι ἔμπροσθεν τῶν χοίρων, οὐδὲ διδόναι τὰ ἅγια τοῖς κυσί.

„Εὐλογητὸς[4]) εἶ, κύριε,“ κ. τ. ε. Ὁ αἰσθόμενος τῆς αὐτοῦ προκοπῆς, ἀπὸ τοῦ ἐν ὅλῃ καρδίᾳ ἐκζητῆσαι τὸν θεὸν, εὐλογεῖ αὐτὸν εὐχαριστῶν ἤδη ἐφ' οἷς ἠξιώθη. Ἔχων γὰρ λόγια ἀπόῤῥητα καὶ κρύψεως ἄξια, εὐλογεῖ ἐπὶ τούτοις τὸν κύριον.

„Ἐν[5]) τῇ ὁδῷ τῶν μαρτυρίων σου ἐτέρφθην, ὡς ἐπὶ παντὶ πλούτῳ,“ κ. τ. ε. Ὁ ὡς ἐν τῷ παντὶ πλούτῳ χρυσοῦ, καὶ ἀργύρου, καὶ ἱματισμοῦ, καὶ οἰκοπέδων, καὶ χωρίων, καὶ κτηνῶν, καὶ οἰκετῶν εὐφραινόμενος ἐν τῇ ὁδῷ τῶν μαρτυρίων τοῦ θεοῦ, μακάριος.

„Ἐν[6]) τοῖς δικαιώμασί σου μελετήσω,“ κ. τ. ε. Ἐν τοῖς δικαιώμασί τις μελετᾷ τοῦ θεοῦ οὐ ῥηματίοις καὶ λεξειδίοις, ἀλλὰ τῷ νενοηκέναι καὶ ποιεῖν αὐτά. Οὐ γὰρ οἱ ἀκροαταὶ τῶν δικαιωμάτων τοῦ θεοῦ δίκαιοι παρὰ τῷ θεῷ, ἀλλ' οἱ ποιηταὶ αὐτῶν, καὶ μελετῶντες αὐτὰ τοῖς ἔργοις· οἵτινες ἐκ τοῦ ὡσαύτως αὐτὰ μελετᾶν, οὐδέποτε τῶν λόγων τοῦ θεοῦ ἐπιλήσονται.

---

[1]) Cfr. I Cor. X, 13.
[2]) Psalm. CXIX, 11. (CXVIII.)
[3]) Cfr. Matth. VII, 6.
[4]) Psalm. CXIX, 12. (CXVIII.)
[5]) Psalm. CXIX, 14. (CXVIII.)
[6]) Psalm. CXIX, 16. (CXVIII.)

„Ἀνταπόδος[1]) τῷ δούλῳ σου, ζήσομαι καὶ φυλάξω τοὺς λόγους σου," κ. τ. ε. Ὁ ποιήσας πάντα τὰ συντελοῦντα πρὸς τὴν γνῶσιν τὴν τοῦ θεοῦ, οὗτος λεγέτω καὶ τῷ κυρίῳ· „ἀνταπόδος[2]) τῷ δούλῳ σου."

„Τοῦ αὐτοῦ." Διδόντι ἀνταποδίδωσιν, ὡς τῷ Ἀβραὰμ τὸν Ἰσαάκ, καὶ τῷ προσαγαγόντι τὰς δέκα μνᾶς ὁ χαρισάμενος αὐτὰς αὐτῷ δεσπότης.

„Ἀποκάλυψον[3]) τοὺς ὀφθαλμούς μου, καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου," κ. τ. ε. Ὁ νόμος ἀποκαλύψεως δεῖται· ἡ γὰρ ἐντολὴ κυρίου τηλαυγής ἐστιν. Νόμον δὲ ἐνταῦθα ὠνόμασε τὴν πνευματικῶς ἀλληγορουμένην τῆς γραφῆς ἱστορίαν· ὅπερ καὶ Παῦλος πεποίηκεν, ἐν τῇ πρὸς Γαλάτας ἐπιστολῇ γράφων· „λέγετέ[4]) μοι, φησὶν, οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀναγινώσκετε; Γέγραπται γὰρ, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας." Καὶ ἀνάγει πᾶσιν τὴν ἱστορίαν πνευματικῶς ἀλληγορῶν ἐπὶ τὴν ἄνω Ἱερουσαλήμ.

„Ἐπεπόθησεν[5]) ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ·" κ. τ. ε. Οὐκ ἐπεθύμησεν, ἀλλ' ἐπεπόθησεν ἐπιθυμῆσαι, καὶ ἐν παντὶ καιρῷ ἐπιθυμῆσαι.

„Ἐπετίμησας[6]) ὑπερηφάνοις· ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου," κ. τ. ε. Ὁ ἀντιτασσόμενος τοῖς ὑπερηφάνοις, οὗτος καὶ ὑπερηφάνοις ἐπιτιμᾷ. Κύριος δὲ ὑπερηφάνοις ἀντιτάσσεται· κύριος ἄρα καὶ τοῖς ὑπερηφάνοις ἐπιτιμᾷ.

---

[1]) Psalm. CXIX, 17. (CXVIII.)
[2]) Psalm. CXIX, 17. (CXVIII.)
[3]) Psalm. CXIX, 18. (CXVIII.)
[4]) Cfr. Gal. IV, 21. 22. coll. Gen. XXI.
[5]) Psalm. CXIX, 20. (CXVIII.)
[6]) Psalm. CXIX, 21. (CXVIII.)

„Καὶ[1]) γὰρ ἐκάθισαν ἄρχοντες καὶ κατ' ἐμοῦ κατελάλουν· ὁ δὲ δοῦλός σου ἠδολέσχει ἐν τοῖς δικαιώμασί σου," κ. τ. ε. Οὕτως συνέρχονται κατὰ τοῦ δικαίου, σκοποῦντες ὅπως ἐπιβουλεύσωσιν αὐτῷ. Ἀλλ' αὐτὸς οὐ παύεται λαλῶν ἐν τοῖς δικαιώμασιν τοῦ θεοῦ· οὐδὲν γὰρ ἀνθρώπινον φθέγγεται.

„Τοῦ αὐτοῦ." Ἡ περί τι συνεχὴς ὁμιλία καὶ διατριβὴ ἀδολεσχία καλεῖται.

„Ἐκολλήθη[2]) τῷ ἐδάφει ἡ ψυχή μου, ζῆσόν με κατὰ τὸν λόγον σου," κ. τ. ε. Τῶν ἁμαρτωλῶν αἱ ψυχαὶ τῷ ἐδάφει κολλῶνται τὰ ἐπίγεια φρονοῦσαι· τῶν δὲ δικαίων ἤτοι συνδεσμούμεναι σώμασιν, ἢ χρονίζουσαι δι' οἰκονομίαν ἐν αὐτοῖς.

„Τοῦ αὐτοῦ." Νῦν μὲν ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχὴ, καὶ γέγονε σάρξ· ἐν δὲ τῇ ἀναστάσει κολληθήσεται ἡ σὰρξ τῇ ψυχῇ, καὶ ἔσται ψυχὴ, ἥτις κολληθεῖσα τῷ κυρίῳ ἐν τῇ καθολικῇ ἀναστάσει γίνεται ἓν πνεῦμα, καὶ γίνεται τὸ σῶμα πνευματικόν. Ὅμοιον τοῦτο τῷ· „εἰς[3]) χοῦν θανάτου κατήγαγές με" καὶ τῷ· „ἐταπεινώθη[4]) εἰς χοῦν ἡ ψυχὴ ἡμῶν·" καὶ τῷ· „τὸ[5]) σῶμα τῆς ταπεινώσεως ἡμῶν·" καὶ τῷ· „τίς[6]) με ῥύσεται ἐκ τοῦ σώματος τοῦ θανάτου τούτου;" Τὴν ὑπερβολὴν τῆς ταπεινώσεως διὰ τούτων ἐδήλωσεν. Οὕτω γὰρ ἐν τεσσαρακοστῷ τρίτῳ ψαλμῷ· „ὅτι[7]) ἐταπεινώθη εἰς χοῦν ἡ ψυχὴ ἡμῶν, ἐκολλήθη εἰς γῆν ἡ γαστὴρ ἡμῶν."

„Ὁδὸν[8]) δικαιωμάτων σου συνέτισόν με, καὶ ἀδολεσχήσω ἐν τοῖς θαυμασίοις σου," κ. τ. ε. Σύνεσιν

---

[1]) Psalm. CXIX, 23. (CXVIII.)
[2]) Psalm. CXIX, 25. (CXVIII.)
[3]) Psalm. XXII, 15. (XXI.)
[4]) Psalm. XLIV, 25. (XLIII.)
[5]) Philipp. III, 21. [6]) Rom. VII, 24.
[7]) Psalm. XLIV, 25. (XLIII.)
[8]) Psalm. CXIX, 27. (CXVIII.)

γὰρ τῶν ἐν αὐτοῖς μυστηρίων λαβών, ὡς καὶ ταύτην ὁδεύσας, δυνήσομαι περὶ τῶν ἐν αὐτοῖς θαυμασίων ὁμιλεῖν τε καὶ λόγον ποιεῖσθαι.

„Ἐνύσταξεν[1]) ἡ ψυχή μου ἀπὸ ἀκηδίας· βεβαίωσόν με ἐν τοῖς λόγοις σου," κ. τ. ε. Ἀκηδία ἐστὶ κίνησις ἐν τῷ αὐτῷ πολυχρόνιος θυμοῦ καὶ ἐπιθυμίας, τοῦ μὲν τοῖς παροῦσιν ὀργιζομένου· τῆς δὲ ἐφιεμένης τῶν μὴ παρόντων. Νυσταγμός ἐστι ψυχῆς λογικῆς ἀμέλεια τῶν ἀρετῶν καὶ τῆς γνώσεως τῆς τοῦ θεοῦ· ὕπνος ἐστὶ ψυχῆς λογικῆς χωρισμὸς ἑκούσιος ἀπὸ τῆς ὄντως ζωῆς. Διὸ καὶ ὁ σοφὸς Σολομῶν παραινεῖ,[2]) μὴ δοῦναι ὕπνον τοῖς ὄμμασι, μηδ' ἐπινυστάξαι τοῖς βλεφάροις.

„Ὁδὸν[3]) ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τῷ νόμῳ σου ἐλέησόν με," κ. τ. ε. Οὐκ ἐμὲ, φησὶν, ἀπόστησον ἀπὸ ὁδοῦ ἀδικίας, ἀλλ' αὐτὴν ἀπ' ἐμοῦ, ὡς ἐνυπάρχουσαν ἤδη, καὶ δεομένην μὲν ἡμῶν πρὸς ἐξέλασιν, μάλιστα δὲ τῆς ἐκ θεοῦ βοηθείας, ὡς ἂν ἐλεηθῶμεν νόμῳ θεοῦ· ὅμοιον δὲ τῷ λέγειν ἰατρῷ· ἰατρικῆς λόγῳ πρὸς ὑγίειάν με κόμισον, κἂν τομῆς δέῃ καὶ καύσεως, κἂν ἑτέρου τινὸς τῶν ἐπισταμένων λυπεῖν. Τούτου δὲ τοῦ νόμου οὐδὲ ἀρχή ἐστι τοῖς μηδέπω ἐπισκοπουμένοις, ἀλλ' ἔτι παραδιδομένοις πάθεσιν ἀτιμίας, ἢ ἀδοκίμῳ, ἤ τινι τῶν οὔπω τὴν διόρθωσιν καὶ θεραπείαν περιποιούντων. Ἐφ' ὅσον γὰρ ἡμῶν ἡ τῆς ἀδικίας ὁδὸς οὐκ ἀφίσταται, ἐπὶ τοσοῦτον οὐδὲ ἀρχὴν ἔχομεν τοῦ ἐλεεῖσθαι νόμῳ θεοῦ.

„Ὁδὸν[4]) ἐντολῶν σου ἔδραμον, ὅταν ἐπλάτυνας τὴν καρδίαν μου," κ. τ. ε. Οἱ λόγοι τῶν ἐντολῶν πλατύνοντες τὴν καρδίαν, εὔκολον αὐτῇ παρασκευάζουσι τῆς πρακτικῆς τὴν ὁδόν.

---

[1]) Psalm. CXIX, 28. (CXVIII.)
[2]) Cfr. Prov. VI, 4.
[3]) Psalm. CXIX, 29. (CXVIII.)
[4]) Psalm. CXIX, 32. (CXVIII.)

„Τοῦ αὐτοῦ.“ Ὁδὸς [1]) μὲν στενὴ καὶ τεθλιμμένη ἡ ἀπάγουσα εἰς τὴν ζωήν· καρδία δὲ πλατεῖα καὶ εὐρύχωρος ὑπὸ τοῦ λόγου εὐρυνομένη ἡ ἁγία, καὶ θεὸν ὀψομένη, καὶ τὸν καλὸν δρόμον τρέχουσα τῆς ὁδοῦ τῶν ἐντολῶν τοῦ θεοῦ. Οὕτω μὲν ἡ πλατεῖα καὶ εὐρύχωρος ὁδὸς ἀπάγει ἐπὶ τὴν ἀπώλειαν, ἡ δὲ στενὴ καρδία, καὶ μὴ χωροῦσα ἐν ἑαυτῇ μονὴν πατρὸς καὶ υἱοῦ, χωρίζει ἀπὸ θεοῦ διὰ τὴν στενοχωρίαν τὸν τοιαύτην τῇ ἑαυτοῦ κακίᾳ πεποιηκότα.

„Νομοθέτησόν [2]) με, κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου, καὶ ἐκζητήσω αὐτὴν διὰ παντός,“ κ. τ. ε. Τὸ μὲν γὰρ παρὰ τοῦ θεοῦ αἰτεῖται· τὸ δὲ ἐπαγγέλλεται ἐξ ἑαυτοῦ συνεισφέρειν. Σὺ μὲν γάρ, φησὶν, ὦ κύριε, νομοθέτησόν μοι τὴν ὁδὸν τῶν δικαιωμάτων σου· ἐγὼ δὲ τὸν τῆς ζωῆς μου ἅπαντα χρόνον ἐπιδώσω εἰς ἀναζήτησιν αὐτῆς.

„Συνέτισόν [3]) με, καὶ ἐξερευνήσω τὸν νόμον σου, καὶ φυλάξω αὐτὸν ἐν ὅλῃ καρδίᾳ μου,“ κ. τ. ε. Συνέσεως χρῄζομεν πρὸς τὸ νοῆσαι τὸν νόμον· οὐκ ἔστι γὰρ σαφὴς ἢ εὐκαταφρόνητος· δεῖται δὲ θεοῦ συνεργείας καὶ τῆς ἡμετέρας σπουδῆς, ὡς ἐξ αὐτοῦ λαβεῖν τήν τε χρῆσιν καὶ τὴν κατάληψιν τῶν τε πρακτικῶν καὶ θεωρητικῶν. Οὕτω γὰρ μηδὲν ἐνδοιάζων, ἐν ὅλῃ καρδίᾳ φυλάξω αὐτόν· εἰ δὲ ἡ ἔρευνα δεῖται συνέσεως, πόσῳ μᾶλλον ἵνα τις εὕρῃ τὸ τέλος.

„Ἰδοῦ, [4]) ἐπεθύμησα τὰς ἐντολάς σου, ἐν τῇ δικαιοσύνῃ σου ζῆσόν με,“ κ. τ. ε. Ἀμοιβὴν αἰτεῖ τὴν δικαίαν ζωὴν καὶ κατ᾽ ἀρετὴν, οὐ μόνον ὡς φυλάξας τὰς ἐντολὰς, ἀλλὰ καὶ ὡς ἐρωτικῶς περὶ αὐτὰς διακείμενος· καὶ οὐκ ἄλλου χάριν, ἀλλ᾽ αὐτὰς καὶ δι᾽ αὐτὰς

---

[1]) Cfr. Matth. VII, 14.
[2]) Psalm. CXIX, 33. (CXVIII.)
[3]) Psalm. CXIX, 34. (CXVIII.)
[4]) Psalm. CXIX, 40. (CXVIII.)

ἐκτελῶν. Καὶ ἐπεὶ δικαιοσύνη τοῦ πατρὸς ὁ υἱὸς, ὁ ἐν υἱῷ ζῆσαι βουλόμενος τοῦτό φησι.

„Καὶ[1]) ἀποκριθήσομαι τοῖς ὀνειδίζουσί με λόγον, ὅτι ἤλπισα ἐπὶ τοὺς λόγους σου," κ. τ. ε. Ἐρῶ γὰρ, ὡς οὐκ ἄξιον, ὀνειδίζεσθαι τὸν τοιαῦτα δόγματα ἔχοντα. Ἅτινα γελῶσιν οἱ τῆς πίστεως ἀλλότριοι ὡς μωρὰ, συνέσεως δὲ ἐγὼ ἀποδείξω καὶ σοφίας πεπληρωμένα. Ἀποκριθήσομαι δὲ λόγον, ἐπεὶ εἰς τοὺς λόγους σου ἐπήλπισα.

„Καὶ[2]) μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον ἀληθείας," κ. τ. ε. Καὶ μὴ περιέλῃς ἐκ τῆς καρδίας μου γνῶσιν ἀληθῆ.

„Καὶ[3]) ἐπορευόμην ἐν πλατυσμῷ, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα," κ. τ. ε. Πορεύεται ἐν πλατυσμῷ, κἂν θλίβηται ὁ λέγων· „ἐν[4]) θλίψει ἐπλάτυνάς μοι·" καὶ πάλιν· „ἐν[5]) παντὶ θλιβόμενοι, ἀλλ' οὐ στενοχωρούμενοι. Ἔχει γὰρ τὴν ἀπὸ τοῦ λόγου γενομένην εὐρυχωρίαν, ἥν τις ἁμαρτάνων οὐκ ἔχει. Διό φησι Κορινθίοις ὁ Παῦλος, περὶ μὲν ἑαυτοῦ· „ὅτι[6]) οὐ στενοχωρεῖσθε ἐν ἡμῖν·" περὶ δὲ ἐκείνων· „ὅτι[7]) στενοχωρεῖσθε ἐν τοῖς σπλάγχνοις ὑμῶν." Τὰ γὰρ κατὰ κακίαν ἔργα τὸν φαῦλον στενοχωρεῖ αὐτὸν ἐν αὐτῷ.

„Τοῦ αὐτοῦ." Ἡ πρὸς θεὸν ἀγάπη ταῖς ψυχαῖς τῶν ἀνθρώπων εὐρυχωρίαν ἐργάζεται· ἡ ἀγάπη γὰρ, φησὶν, οὐ στενοχωρεῖται. Ἡ ἀγάπη δὲ πρὸς τὸν θεὸν ἡ τῶν ἐντολῶν αὐτοῦ ζήτησις καὶ κατόρθωσις· φησὶ γὰρ ὁ κύριος· „ἐὰν[8]) ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσατε·" ὥστε δικαίως ὁ τὰς ἐντολὰς τοῦ θεοῦ ζητῶν ἐν

---

[1]) Psalm. CXIX, 42. (CXVIII.)
[2]) Psalm. CXIX, 43. (CXVIII.)
[3]) Psalm. CXIX, 45. (CXVIII.)
[4]) Psalm. IV, 1. [5]) II Cor. IV, 8.
[6]) Cfr. II Cor. VI, 12. [7]) Cfr. II Cor. VI, 12
[8]) Cfr. ev. Joann. XIV, 15.

πλατυσμῷ πορεύεται, τουτέστιν, ἐν εὐρυχωρίᾳ πολιτεύεται· ἐπειδὴ ὁ ἀγαπῶν τὸν κύριον πάντα στέγει, πάντα ὑπομένει, καὶ οὐδεμίαν εἰκότως στενοχωρίαν ὑφίσταται.

„Καὶ [1]) ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου ἐναντίον βασιλέων, καὶ οὐκ ᾐσχυνόμην,“ κ. τ. ε. Καὶ ὁ Παῦλός φησιν· „οὐ [2]) γὰρ ἐπαισχύνομαι τὸ εὐαγγέλιον· δύναμις γὰρ θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι.

„Καὶ [3]) ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου, αἷς ἠγάπησα,“ κ. τ. ε. Τέλος τῶν ἐντολῶν τῆς μελέτης τοῦ θεοῦ ἐστιν ἡ κατὰ τὰς ἐντολὰς ἐνέργεια. Καὶ καλῶς προστετάχθαι φαίνεται τό· „ἐμελέτων [4]) ἐν ταῖς ἐντολαῖς σου, αἷς ἠγάπησα.“ Μετὰ γὰρ τὴν μελέτην καὶ ἀνάληψιν τοῦ τῶν ἐντολῶν λόγου, καλὸν τὸ ἐπᾶραι τὰς χεῖρας ἐπὶ τὰς κατὰ τας ἐντολὰς πράξεις, δίχα τοῦ ἐκ λύπης ἢ ἐξ ἀνάγκης τὸ ἔργον ἀποδιδόναι τῶν ἐντολῶν.

„Μνήσθητι [5]) τῶν λόγων σου τῷ δούλῳ σου, ὧν ἐπήλπισάς με,“ κ. τ. ε. Καὶ ποῖος ὁ λόγος, οὗ μνησθῆναι αὐτὸν ἀξιοῖ, η τὸ εἶναι μετ᾽ αὐτῶν, καθ᾽ ἣν δέδωκεν αὐτοῖς ἐπαγγελίαν, ἥτις καὶ παράκλησις αὐτοῖς ἐν τοῖς διωγμοῖς ἐγένετο.

„Αὕτη [6]) με παρεκάλεσεν ἐν τῇ ταπεινώσει μου, ὅτι τὸ λόγιόν σου ἔζησέ με,“ κ. τ. ε. Πάνυ ἡ ἐλπὶς πέφυκεν ἐν τοῖς πειρασμοῖς παρακαλεῖν τὴν ψυχὴν, προσδοκίαν ἀγαθῶν παρέχουσα.

„Τοῦ αὐτοῦ.“ Μόνον, φησὶν, ἱκανὸν ἡμᾶς ἐν ταῖς

---

[1]) Psalm. CXIX, 46. (CXVIII.)
[2]) Rom. I, 16.
[3]) Psalm. CXIX, 47. (CXVIII.)
[4]) Psalm. CXIX, 47. (CXVIII.)
[5]) Psalm. CXIX, 49. (CXVIII.)
[6]) Psalm. CXIX, 50. (CXVIII.)

κακώσεσι παραμυθεῖσθαι, τὸ ζωῆς ἀληθινῆς ἔχειν ἐπαγγελίαν. Τοῦτ' οὖν ἡμῖν ἐπιτέλεσον. Εἰ γὰρ ἐν τῇ ζωῇ ταύτῃ μόνον ἐν Χριστῷ ἠλπικότες ἐσμὲν, ἐλεεινότεροι πάντων ἀνθρώπων ἐσμὲν, ὅτι κακούμεθα νῦν καὶ οὐκ ἐπ' ἐλπίδι μελλούσης ζωῆς. Ζωὴ δὲ ἡ μέλλουσά ἐστιν ἀναζώωσις, καθὸ τὴν ψυχὴν ἰδίαν ζωὴν, οὐδὲ ἀληθῆ εἶναι μανθάνομεν· εἴπερ οὐκ ἄνθρωπος ἡ ψυχή. Εἰ γὰρ ἐν τῇ καθ' ἑαυτὴν ζωῇ τὸ ἀληθὲς εἶχε τοῦ ζῆν, οὐκ ἂν ἀναζωώσεως ὁ τεθνηκὼς ἐδεῖτο. Διὸ καὶ ὁ κύριος τοὺς τεθνεῶτας θεῷ ζῆν εἶπεν, ὡς οὔπω τὸ ζῆν ἔχοντας, πλὴν ὅσον ἐν δυνάμει θεοῦ τοῦ ζωοποιήσαντος, καὶ ἀπολωλέναι φησὶν αὐτοὺς, εἰ μὴ τῆς ἀναστάσεως τύχοιεν.

„Ὑπερήφανοι[1]) παρηνόμουν ἕως σφόδρα, ἀπὸ δὲ τοῦ νόμου σου οὐκ ἐξέκλινα,“ κ. τ. ε. Ἐν αὐτῷ γὰρ ἐπολιτευόμην τηρῶν τὸ ἡγεμονικόν μου, ἵνα μὴ γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ μου ἀνόμημα· ἐκείνων γὰρ λίαν παρανομούντων, οὐδὲ κατὰ μικρὸν ἐγὼ τὸν νόμον παρέβαινον.

„Ἀθυμία[2]) κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου,“ κ. τ. ε. Ἐπὶ τῶν ἁμαρτωλῶν οἱ μὲν ἀνόμως ἁμαρτάνουσι, τῷ μηδὲ τὴν ἀρχὴν πειραθῆναι νόμων· οἱ δὲ ἐν νόμῳ, τῷ παραβαίνειν αὐτόν.

„Ψαλτὰ[3]) ἦσάν μοι τὰ δικαιώματά σου, ἐν τόπῳ παροικίας μου,“ κ. τ. ε. Τόπον παροικίας τὸν παρόντα βίον φησὶ, κατὰ τό· „ὁμολογήσαντες,[4]) ὅτι ξένοι καὶ παρεπίδημοί εἰσιν ἐπὶ τῆς γῆς.“ Ψάλλων οὖν τὰ δικαιώματά σου ηὐφραινόμην, καὶ ἡ ἐπιθυμία τῆς ἐντολῆς οὐδὲ τῷ ὕπνῳ χώραν ἐδίδου.

---

[1]) Psalm. CXIX, 51. (CXVIII.)
[2]) Psalm. CXIX, 53. (CXVIII.)
[3]) Psalm. CXIX, 54. (CXVIII.)
[4]) Hebr. XI, 13.

„Ἐμνήσθην [1]) ἐν νυκτὶ τοῦ ὀνόματός σου," κ. τ. ε. Παντὶ μὲν καιρῷ χρήζομεν τῆς μνήμης τῶν λογίων τοῦ θεοῦ, μάλιστα δὲ, ὅτε σκότος κύκλῳ μου, καὶ οἱ τοῖχοί με καλύπτουσιν, ὅτε εἰσέρχεται ἡ ἀκάθαρτος ἐπιθυμία, καὶ ταράσσει τὸ ἡγεμονικόν. Τότε γὰρ ἀναγκαῖόν ἐστι μεμνῆσθαι τῶν λογίων τοῦ θεοῦ, ἵνα φυλάξωμεν τὸν νόμον τοῦ θεοῦ τὸν περὶ σωφροσύνης.

„Αὕτη [2]) ἐγενήθη μοι," κ. τ. ε. Τὴν γραφὴν λέγει τὴν θεόπνευστον. Αὕτη γὰρ τῷ δικαίῳ οὐ λέγεται μόνον, ἀλλὰ καὶ γίνεται, ἐπειδὴ τῇ μελέτῃ προστίθησι τὴν κατόρθωσιν· ὅθεν αὐτοῦ καὶ ἐκζητεῖν τὰ δικαιώματα λέγεται, ὡς μὴ παρέργως αὐτὰ μελετῶν. Τοιγαροῦν οἱ λοιποὶ τῶν ἑρμηνευτῶν ἀντὶ τοῦ· „ἐξεζήτησα·" [3]) „διετήρησα" γράφουσιν.

„Μερίς [4]) μου εἶ, κύριε, εἶπα τοῦ φυλάξασθαι τὸν νόμον σου," κ. τ. ε. Ὥσπερ ἐστὶ μερὶς ἡ ἀφροσύνη τοῦ ἄφρονος, οὕτω καὶ τοῦ φρονίμου ἡ φρόνησις, καὶ τοῦ δικαίου ἡ δικαιοσύνη.

„Ἐδεήθην [5]) τοῦ προσώπου σου ἐν ὅλῃ καρδίᾳ μου, ἐλέησόν με κατὰ τὸ λόγιόν σου," κ. τ. ε. Πρόσωπον θεοῦ ὁ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, ὡς πολλάκις εἴρηται. Ὁ τοίνυν ὅλῃ τῇ καρδίᾳ ἐφιέμενος τοῦ κυρίου, ὅπως καθαρᾷ αὐτῇ γενομένῃ θεωροίη αὐτὸν, καὶ ἐκ τοῦ ἀτενίζειν αὐτοῦ ἐλεηθῇ, κατὰ τὸν λόγον τῆς διδασκαλίας εἴποι ἂν τὰ συγκείμενα ῥητά. Ὅρα δὲ, πηλίκος ἐστὶν ὁ ὀψόμενος τὸ πρόσωπον τοῦ θεοῦ. Ἰησοῦς σε διδαξάτω λέγων· „μακάριοι [6]) οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν θεὸν ὄψονται."

---

1) Psalm. CXIX, 55. (CXVIII.)
2) Psalm. CXIX, 56. (CXVIII.)
3) Psalm. CXIX, 56. (CXVIII.)
4) Psalm. CXIX, 57. (CXVIII.)
5) Psalm. CXIX, 58. (CXVIII.)
6) Matth. V, 8.

„Διελογισάμην[1]) τὰς ὁδούς σου, καὶ ἐπέστρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου," κ. τ. ε. Ὃ λέγει, τοιοῦτόν ἐστιν· οὐδέποτε προπετῶς ἐλάλησα, μὴ λογισάμενος πρῶτον, εἰ λαλητέον μοί ἐστιν, ἢ σιωπητέον. Οὐδέποτε προπετῶς τι ἔπραξα, μὴ λογισάμενος, εἰ καθήκουσά ἐστιν ἡ πρᾶξις· αἱ γὰρ ὁδοὶ ἡμῶν ἐν διαλογισμοῖς εἰσι καὶ ἐν πράξεσι. Φησὶν οὖν· πάντα περιεσκεμμένως ἐποίησα, καὶ διὰ τοῦτο ἐπέστρεψα ὁδεύων τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου, ἵνα μη ἔξωθεν τῶν μαρτυρίων τοῦ θεοῦ ὁδεύω, πᾶσαν τὴν ἐμὴν γνώμην εἰς τὰς σὰς ἀναθεὶς ἐντολάς.

„Ἡτοιμάσθην[2]) καὶ οὐκ ἐταράχθην, τοῦ φυλάξασθαι τὰς ἐντολάς σου," κ. τ. ε. Ἡ ἀπάθεια πέφυκε τὴν καρδίαν ἀτάραχον διαφυλάττειν, ἥτις ἡμῖν προσγίνεται ἐκ πολιτείας ὀρθῆς καὶ δογμάτων ἀληθινῶν.

„Σχοινία[3]) ἁμαρτωλῶν περιεπλάκησάν μοι, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην," κ. τ. ε. Σχοινία τὰ ἐπάλληλα καὶ τὰ συμπεπλεγμένα ἁμαρτήματα λέγεται. Οἱ γὰρ ἁμαρτίαν προθέμενοι, πλέκειν δι' αὐτὴν καὶ ἄλλην ἀναγκάζονται· ὥσπερ ὁ Δαυὶδ διὰ τὴν πορνείαν καὶ τὸν φόνον προσέθηκεν· ὁ Κάϊν διὰ τὴν ἀδελφοκτονίαν ἐπισυνῆψε τὸ ψεῦδος. Ἀλλ' οὐδὲ τούτων περιπλακέντων αὐτῷ τοῦ θεοῦ νόμου φησὶν ἐπιλανθάνεσθαι πάντως· ὅτι πρὸς μετάνοιαν ἰδὼν καὶ ἐπιστρέψας, τὸ σχοινίον τῆς ἁμαρτίας ἔῤῥηξεν.

„Μεσονύκτιον[4]) ἐξεγειρόμην, τοῦ ἐξομολογεῖσθαί σοι ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου," κ. τ. ε. Λεκτέον τοῦτο πρὸς τοὺς ἀμελοῦντας νύκτωρ τῶν προσευχῶν.

„Ἐτυρώθη[5]) ὡς γάλα ἡ καρδία αὐτῶν· ἐγὼ[6]) δὲ

[1]) Psalm. CXIX, 59. (CXVIII.)
[2]) Psalm. CXIX, 60. (CXVIII.)
[3]) Psalm. CXIX, 61. (CXVIII.)
[4]) Psalm. CXIX, 62. (CXVIII.)
[5]) Psalm. CXIX, 70. (CXVIII.)
[6]) Ed. Ruaei: ἐγὼ τὸν νόμον σου κτλ.

τὸν νόμον σου ἐμελέτησα,“ κ. τ. ε. Ὥσπερ ὁ τυρὸς ἦν, ὅτε οὐκ ἦν τυρὸς, οὕτως οἱ δαίμονες ἦσάν ποτε, ὅτε οὐκ ἦσαν πονηροί. Εἰ δὲ τὸ γάλα πρεσβύτερόν ἐστι τοῦ τυροῦ, δηλονότι καὶ ἡ ἀρετὴ πρεσβυτέρα τῆς κακίας ἐστίν· τυρῷ γὰρ Δαυὶδ τὴν κακίαν ἀπείκασεν.

„Ἀγαθόν[1]) μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου,“ κ. τ. ε. Ὡσεὶ ἔλεγεν· εὐδοκῶ ἐν ἀσθενείαις, ἐν ὕβρεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις. Ἄξιος ὀφθῆναι τῶν σῶν δικαιωμάτων αἰτῶ, ἅπερ οὐκ ἔστιν ἄλλως μαθεῖν.

„Αἰσχυνθήτωσαν[2]) ὑπερήφανοι, ὅτι ἀδίκως ἠνόμησαν εἰς ἐμέ,“ κ. τ. ε. Ἡ αἰσχύνη εἰς συναίσθησιν πέφυκεν ἄγειν τὸν ἁμαρτάνοντα.

„Ἐπιστρεψάτωσάν[3]) μοι οἱ φοβούμενοί σε, καὶ οἱ γινώσκοντες τὰ μαρτύριά σου,“ κ. τ. ε. Ἐπιστρέψαι πρὸς αὐτὸν καὶ παραγενέσθαι τοὺς τοιούτους αἰτεῖ, ὡς ἂν αὐτοῖς τῆς ἐν αὐτῷ μεταδοίη χάριτος.

„Γενηθήτω[4]) ἡ καρδία μου ἄμωνος ἐν τοῖς δικαιώμασί σου, ὅπως ἂν μὴ αἰσχυνθῶ,“ κ. τ. ε. Ὡς μήπω ἔχων αἰτεῖ κατὰ τό· „καρδίαν[5]) καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός.“ Καὶ πῶς „ἄμωμος“ ἔσται, ἢ κατὰ τοὺς λοιποὺς „τελεία;“ Ἐπήγαγεν· „ἐν[6]) τοῖς δικαιώμασί σου.“ Τούτῳ δὲ τὸ μὴ αἰσχυνθῆναι ἀκολουθεῖ· αἰσχύνης γὰρ ἄξιον πᾶν ἁμάρτημα.

„Ἐξέλιπον[7]) οἱ ὀφθαλμοί μου εἰς τὸ λόγιόν σου, λέγοντες· πότε παρακαλέσεις με;“ κ. τ. ε. Παράκλησίς ἐστιν ἡ ἀνάπαυσις ψυχῆς ἀπὸ πόνων.

---

1) Psalm. CXIX, 71. (CXVIII.)
2) Psalm. CXIX, 78. (CXVIII.)
3) Psalm. CXIX, 79. (CXVIII.)
4) Psalm. CXIX, 80. (CXVIII.)
5) Psalm. LI, 10. (L.)
6) Psalm. CXIX, 80. (CXVIII.)
7) Psalm. CXIX, 82. (CXVIII.)

„Ὅτι [1]) ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ," κ. τ. ε. Εὑρήσεις πολλαχοῦ τῆς γραφῆς τροπολογούμενον τὸ σῶμα εἰς ἀσκόν. Ὃ οὖν λέγει ὁ δίκαιος, τοιοῦτόν ἐστιν· ἐνέκρωσά μου τὰ μέλη ἐπὶ τῆς γῆς· τὴν θερμότητα τοῦ σώματος ἔψυξα τῷ θείῳ λόγῳ· οὐκέτι εἰμὶ θερμὸς πρὸς ὄρεξιν τῶν κατὰ τὴν κοιλίαν ἢ πρὸς τὰ σωματικά· ἐνέκρωσα καὶ ἔψυξα τὰ μέλη ἐπὶ τῆς γῆς.

„Πόσαι [2]) εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου; Πότε ποιήσεις μοι ἐκ τῶν διωκόντων με κρίσιν;" κ. τ. ε. Ὀλίγαι γὰρ αἱ τῶν ἀνθρώπων ἡμέραι ἐπὶ τῆς γῆς, ἐν αἷς εὔχεται ταχέως συντριβῆναι τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας αὐτοῦ.

„Τοῦ αὐτοῦ." Πᾶσαι ἀνθρώπων ἡμέραι ὀλίγαι εἰσίν. Ἐπεὶ οὖν ὀλίγον χρόνον ζῶ ἐπὶ γῆς, βούλομαι ἰδεῖν τοὺς καταδιώκοντάς με κρινομένους, καὶ παρακαλῶ σε μὴ ὑπερθέσθαι. Τίνες δέ εἰσιν οἱ περὶ ὧν εὔχεται, ἵνα γένηται ἐπ' αὐτοὺς κρίσις; Οἱ καταδιώκοντες ἡμᾶς Σατανᾶς τε καὶ τὰ πνευματικὰ τῆς πονηρίας. Ὅταν δὲ ἡμᾶς καὶ ἄνθρωπος δοκῇ καταδιώκειν, τῷ πρώτως καταδιώκειν οὐκ ἄνθρωπός ἐστιν, ἀλλὰ διάβολος, οὗ μιμητής ἐστι.

„Διηγήσαντό [3]) μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ ὡς ὁ νόμος σου," κ. τ. ε. Ἢ τοὺς γραώδεις μύθους τῶν Ἰουδαίων φησὶ τὰς διδασκαλίας, ἢ καὶ τὰ ἐντάλματα τῶν ἀνθρώπων, καὶ τὰς φλυαρίας τῶν σοφῶν τοῦ αἰῶνος τούτου. Πολλοὶ γὰρ ἑρμηνεύειν ἐπιχειροῦσι τὰς θείας γραφὰς καὶ τῶν τῆς ἐκκλησίας, καὶ τῶν ἔξω ταύτης αἱρετικῶν τε καὶ Ἰουδαίων, ἢ καὶ Σαμαρειτῶν, ἀλλ' οὐ πάντες λέγουσι καλῶς. Σπάνιος γὰρ ὁ ἔχων ἀπὸ τοῦ θεοῦ εἰς τοῦτο χάριν, πολλῶν μὲν ἐπαγγελλομένων λέγειν, οὐ καλῶς δὲ ἢ καὶ παρανόμως βιούντων.

---

[1]) Psalm. CXIX, 83. (CXVIII.)
[2]) Psalm. CXIX, 84. (CXVIII.)
[3]) Psalm. CXIX, 85. (CXVIII.)

Εἴ τι οὖν λέγουσιν, ἀδολεσχία καὶ φλυαρία. Οὐ γὰρ δύναται λόγος εὔτονος καὶ ἐῤῥωμένος καὶ σωτήριος εἶναι ἐν τῇ ψυχῇ παρανόμου.

„Τοῦ αὐτοῦ." Χρηστέον τούτῳ τῷ ῥητῷ πρὸς τοὺς ἐκ τῆς ἔξωθεν σοφίας περὶ γνώσεως θεοῦ ἐπαγγελλομένους διδάσκειν.

„Παρὰ[1]) βραχὺ συνετέλεσάν με ἐν τῇ γῇ, ἐγὼ δὲ οὐκ ἐγκατέλιπον τὰς ἐντολάς σου," κ. τ. ε. Ἀντὶ τοῦ· παρ' ὀλίγον ἐγενόμην γήϊνος, ὑπὸ τῶν ἐχθρῶν πειραζόμενος.

„Κατὰ[2]) τὸ ἔλεός σου ζῆσόν με, καὶ φυλάξω τὰ μαρτύρια τοῦ στόματός σου," κ. τ. ε. Μὴ ἐκδοθῆναι ταῖς τῶν ἐπιβουλευόντων χερσὶν εἰς θάνατον ἀξιοῖ, ζωὴν αἰτῶν οὔπω τὴν αἰώνιον, ἀλλὰ τὴν παροῦσαν· οὐχ ὡς τέλος δὲ αὐτὴν αἰτεῖ, ἀλλ' ὡς ἀγαθοῦ τέλους συναίτιον ἐσομένην. Ὅτι ζήσας, φησὶ, φυλάξω τὰ τοῦ θεοῦ προστάγματα, δι' ὧν καὶ τὴν αἰώνιόν ἐστι περιποιήσασθαι ζωήν.

„Τοῦ αὐτοῦ." Στόμα θεοῦ οἱ διακονήσαντες προφῆται τοῖς μαρτυρίοις, ταῖς ἐντολαῖς, τοῖς δικαιώμασιν αὐτοῦ.

„Εἰς[1]) τὸν αἰῶνα, κύριε, ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ," κ. τ. ε. „Ἐν τῷ οὐρανῷ," ἀντὶ τοῦ· ἐν ταῖς ἁγίαις αὐτοῦ δυνάμεσιν. Πάντων γὰρ ἐκεῖ τεταγμένων, οὐδεμία λόγου παράβασις· „οὐρανῷ" δὲ, οὐ τῷ παρερχομένῳ, εἰ καὶ ἐν αὐτῷ πάντα τεταγμένως κινεῖται· ἀλλ' ὅστις εἴρηται θρόνος εἶναι τοῦ θεοῦ. Ἐν δὲ τῇ γῇ οὐδὲ μένει ὁ λόγος· οὐδὲ γὰρ ἔχει χώραν, ὅπου πορνεία καὶ ἀκαθαρσία καὶ τὰ λοιπὰ πάθη. Τίς γὰρ μετοχὴ δικαιοσύνῃ καὶ ἀνομίᾳ; Οὐκ εἶπε δὲ „τὸν αἰῶνα τῶν αἰώνων, ἢ τοῦ αἰῶνος· — μετὰ γὰρ τὸν αἰῶνα ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται· — ἐν ᾧ δέ

[1]) Psalm. CXIX, 87. (CXVIII.)
[2]) Psalm. CXIX, 88. (CXVIII.)
[3]) Psalm. CXIX, 89. (CXVIII.)

ἐστιν ὁ λόγος[1]) διαμένων. Δυνατὸν γὰρ τέλειον εἶναι δοκοῦντα μὲν ἐπὶ γῆς τυγχάνειν, τὸ πολίτευμα δὲ ἔχοντα ἐν τῷ οὐρανῷ. Οὕτως ἐστὶν ἐν αὐτῷ καὶ ἀεὶ ἡ ἀλήθεια.

„Εἰς[2]) γενεὰν καὶ γενεὰν ἡ ἀλήθειά σου. Ἐθεμελίωσας τὴν γῆν, καὶ διαμένει," κ. τ. ε. Ταύτῃ δὲ τῇ ἀληθείᾳ ἡ γῆ τεθεμελίωται. Ἐπὶ τούτῳ γὰρ τῷ ἀκρογωνιαίῳ λίθῳ καταβεβλημένῳ θεμελίῳ οἰκοδομοῦνται πάντες οἱ ἐκ γῆς σωζόμενοι· ὅθεν καὶ διαμένει ἡ γῆ, ἀῤῥαγῆ καὶ ἀσφαλῆ κρηπῖδα καὶ θεμέλιον ἔχουσα. Ἀλλὰ καὶ φωτίσασα ἡ ἀλήθεια ἡμέραν, ἣν ἐποίησε, θεοῦ ἐπιλάμψαντος αὐτῇ, ἐν τῇ αὐτῇ διατάξει μένει, οὐκ ἀλλασσομένη.

„Ὅτι[3]) τὰ σύμπαντα δοῦλα σά," κ. τ. ε. Εἰ τὰ σύμπαντα δοῦλα τοῦ θεοῦ, πῶς ἐν ταῖς Παροιμίαις Σολομὼν περὶ τοῦ μύρμηκός φησιν· „ἐκεῖνος[4]) γεωργίου μὴ ὑπάρχοντος, μηδὲ τὸν ἀναγκάζοντα ἔχων, μηδὲ ὑπὸ δεσποτείαν ὤν, ἑτοιμάζεται θέρους τὴν τροφήν;" Ὁ θεὸς λέγεται δεσπότης διττῶς, ἢ ὡς δημιουργὸς, ἢ ὡς γινωσκόμενος. Διὸ καὶ Παῦλος γράφει· „ἐξελευθερωθέντες[5]) ἀπὸ τῆς ἁμαρτίας, ἐδουλώθητε τῷ θεῷ," δηλονότι κατ' ἀρετὴν καὶ γνῶσιν. „Ἔχετε[6]) τὸν καρπὸν ὑμῶν εἰς ἁγιασμόν· τὸ δὲ τέλος, ζωὴν αἰώνιον. Εἰ δὲ τοιούτου τέλους ἄμοιρός ἐστιν ὁ μύρμηξ, δηλονότι καὶ ταύτης τῆς δουλείας. Καλῶς οὖν λέγεται ὁ μύρμηξ μὴ εἶναι ὑπὸ δεσποτείαν, κατὰ ταύτην τὴν δεσποτείαν.

„Εἰ[7]) μὴ ὅτι ὁ νόμος σου μελέτη μου ἐστὶ, τότε

---

1) Cfr. Psalm. CXIX, 89. (CXVIII.)
2) Psalm. CXIX, 90. (CXVIII.)
3) Psalm. CXIX, 91. (CXVIII.)
4) Cfr. Prov. VI, 7. 8.
5) Cfr. Rom. VI, 18. coll. 22.
6) Rom. VI, 22.
7) Psalm. CXIX, 92. (CXVIII.)

ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου," κ. τ. ε. Μακάριον ὄντως τὸ μὴ ἀπολέσθαι γεγονότας ἐν περιστάσεσιν, οἷον ἐπὶ μαρτυρίου. Εἰ μή τις προμελετήσει τὸν νόμον τοῦ θεοῦ, ἀπόλλυται.

„Πάσης[1]) συντελείας εἶδον πέρας, πλατεῖα ἐντολή σου σφόδρα," κ. τ. ε. Ὑπὲρ πάντας τοὺς ἔξωθεν λόγους οἱ λόγοι τῶν ἐντολῶν τοῦ θεοῦ πλατύνουσι καθαίροντες τὴν ψυχήν.

„Ὡς[2]) ἠγάπησα τὸν νόμον σου, κύριε· ὅλην τὴν ἡμέραν μελέτη μου ἐστίν," κ. τ. ε. Μελετᾶται νόμος οὐκ ἐν λέξεσι καὶ φωναῖς μόνον, ἀλλὰ καὶ ἐν πράξεσιν. Ὅτε γὰρ ἀναγινώσκει τις, νοῶν τὰ λεγόμενα, καὶ πράττων αὐτὰ, μὴ παραλιπὼν ἔν τινι πράξει, ἀλλ' ἐν πᾶσι ποιῶν, ὃ βούλεται ὁ νόμος· οὗτος καὶ λέγων καὶ ἀναγινώσκων καὶ πράττων μελετᾷ τὸν τοῦ θεοῦ νόμον. Ἐνθάδε μὲν οὖν λέγεται· „ὅλην[3]) τὴν ἡμέραν μελέτη μου ἐστίν·" ἐν δὲ τῷ πρώτῳ ψαλμῷ οὐ μόνον τὴν ἡμέραν, ἀλλὰ καὶ τὴν νύκτα φησὶ τὸν ἐσόμενον μακάριον δεῖν μελετᾷν τὸν νόμον. Τί δήποτε ἐνταῦθα παρέλιπε τὴν νύκτα; Ὅτι μικτός ἐστιν ἐνταῦθα τῶν ἀνθρώπων ὁ βίος, διὰ τοῦτο καὶ ἡμέραν νῦν ἔχομεν καὶ νύκτα· ὅταν δὲ ἅγιοι γενώμεθα καὶ μακάριοι, νὺξ ἡμᾶς οὐ διαδέξεται, ἀλλ' ἐν μόνῃ ἐσόμεθα τῇ ἡμέρᾳ. Ὅρα οὖν, ὡς μὲν ὁ ἐνταῦθα πορευόμενος, ἤτοι μὴ κατὰ βίον τέλειος· — πορεία γάρ ἐστιν ἡ κατὰ κόσμον ἀναστροφή· — οὐδέπω καθαρῶς πορεύεται, ἀλλ' ὁτὲ μὲν ἐν ἡμέρᾳ ἐστὶν, ὁτὲ δὲ ἐν νυκτί· ἐν ἡμέρᾳ μὲν, ὅτε τὰ κατὰ τὸν νόμον καθήκοντα ποιεῖ· ἐν νυκτὶ δὲ, ὅτε οὐδέπω ὅλῃ καρδίᾳ, — κἂν μελετᾷ τὸν νόμον —, ποιεῖ τὸν νόμον, ἢ καὶ ὅτε παρὰ τὰ καθήκοντα πράττει. Ὁ μὲν οὖν ἀρχόμενος, ἢ καὶ προκόπτων, μελετᾷ τὸν νόμον

---

1) Psalm. CXIX, 96. (CXVIII.)
2) Psalm. CXIX, 97. (CXVIII.)
3) Psalm. CXIX, 97. (CXVIII.)

ἡμέρας καὶ νυκτός· ὁ δὲ τετελειωμένος, οὐκ ἔστιν ἐν νυκτὶ, ἀλλ᾽ ἐν ἡμέρᾳ, ὡς ὁ Παῦλός φησιν· „ἡ[1]) νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν· ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν.“ Καὶ πάλιν· „ἄρα[2]) οὖν οὐκέτι ἐσμὲν νυκτὸς, οὐδὲ σκότους, ἀλλ᾽ ἐσμὲν τέκνα φωτὸς καὶ ἡμέρας.

„Ὑπὲρ[3]) τοὺς ἐχθρούς μου ἐσόφισάς με τὴν ἐντολήν σου, ὅτι εἰς τὸν αἰῶνα ἐμή ἐστιν,“ κ. τ. ε. Νοῦς παθῶν γυμνωθεὶς, καὶ γνώσεως μέτοχος γεγονὼς, πανουργότερος γίνεται τῶν δαιμόνων, λέγων πολλάκις τὸ τοῦ Παύλου, τό· „οὐ[4]) γὰρ αὐτοῦ τὰ νοήματα ἀγνοοῦμεν.“

„Τοῦ αὐτοῦ.“ Ἐχθροὺς νῦν φησιν ἐπιδικαζομένους τῶν ἐντολῶν, καὶ μισοῦντας ἡμᾶς· οἷς ἡμεῖς οὐκ ἐχθραίνομεν. Σημαίνει τοὺς ἐκ περιτομῆς Ἰουδαίους· ὑπὲρ τούτους γὰρ ὁ χριστιανὸς ἐσοφίσθη τὴν ἐντολὴν τοῦ θεοῦ, πνευματικῶς τὸν νόμον νοῶν καὶ φυλάττων. Διὰ τοῦτο δύναμαι νοῆσαι βαθύτερον τὸ εἰρημένον ὑπὸ τοῦ κυρίου· „ἀγαπᾶτε[5]) τοὺς ἐχθροὺς ὑμῶν.“ Ἐχθροὶ γὰρ ἡμῶν εἰσιν ἐκεῖνοι, οἱ ἔχοντες ζῆλον[6]) θεοῦ, ἀλλ᾽ οὐ κατ᾽ ἐπίγνωσιν.

„Ὑπὲρ[7]) πάντας τοὺς διδάσκοντάς με συνῆκα, ὅτι τὰ μαρτύριά σου μελέτη μου ἐστίν,“ κ. τ. ε. Αἱ γραφαὶ ἐκείνων ἦσαν πρῶται· ἐπιστεύθησαν τὰ λόγια τοῦ θεοῦ. Ἐκεῖνοι διδάσκαλοι ἐπαγγέλλονται γεγονέναι, ὅτε πρῶτοι παραλαβόντες νόμον καὶ προφήτας. Ἡμεῖς οὖν οἱ ἀπὸ τῶν ἐθνῶν λέγομεν· „ὑπὲρ[8]) πάντας τοὺς

---

1) Rom. XIII, 12. 13.
2) Cfr. I Thess. V, 5.
3) Psalm. CXIX, 98. (CXVIII.)
4) II Cor. II, 11. 5) Matth. V, 44.
6) Cfr. Rom. X, 2.
7) Psalm. CXIX, 99. (CXVIII.)
8) Psalm. CXIX, 99. (CXVIII.)

διδάσκοντάς με συνῆκα.“ Διὰ τί δέ; „Ὅτι [1]) τὰ μαρτύριά σου μελέτη μου ἐστί.“ Καινὰ εὑρίσκω μαρτύρια παρὰ τὰ πολλάκις εἰρημένα μαρτύρια. Μελέτη μου γάρ ἐστι τὰ μαρτύρια Ἰησοῦ Χριστοῦ· παρεδεξάμην γὰρ αὐτὰ τὰ μαρτύρια, καὶ διὰ τοῦτο ἐγὼ ὑπὲρ πάντας τους διδάσκοντάς με συνῆκα. Εἶπεν αὐτοὺς ἐχθροὺς ὁ ἐκκλησιαστικὸς, εἶπεν αὐτοὺς διδάσκοντας, νῦν λέγει αὐτοὺς καὶ πρεσβυτέρους.

„Ὑπὲρ [2]) πρεσβυτέρους συνῆκα, ὅτι τὰς ἐντολάς σου ἐξεζήτησα,“ κ. τ. ε. Χρήζομαι τούτῳ τῷ ῥητῷ πρὸς τοὺς γέροντας τοὺς μακρὸν χρόνον καὶ τὴν ἀπάθειαν νομίζοντας εἶναι πρόξενον τῆς γνώσεως τοῦ θεοῦ.

„Ἐκ [3]) πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου, ὅπως ἂν φυλάξω τοὺς λόγους σου,“ κ. τ. ε. Πονηρὰς ὁδοὺς ὡδεύομεν, ἀνόητοι [4]) „ὄντες ποτὲ καὶ ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις,“ καὶ τὰ ἑξῆς. Ἐκεῖναι μὲν ἦσαν ὁδοὶ πονηραί. Τελεία ἡ φωνὴ αὕτη ἐκκλησιαστικοῦ. Ὅσον γὰρ ἔτι ἁμαρτάνομεν, λέγειν ταῦτα οὐ δυνάμεθα· ἐκ τοῦ γὰρ κωλύειν τοὺς πόδας ἡμῶν ἐκ πάσης ὁδοῦ πονηρᾶς, φυλάξομεν τοὺς λόγους τοῦ θεοῦ. Ποίους λόγους; Τοὺς ἐν νόμῳ, νοήσαντες αὐτοὺς πνευματικῶς, καὶ ἐπιγινώσκοντες τὸν δι᾽ αὐτῶν κηρυττόμενον Ἰησοῦν Χριστόν. Ἐμφαίνει δὲ τὸ ἐλεύθερον τῆς προαιρέσεως, τό· „ἐκώλυσα [5]) τοὺς πόδας.“ Ὡς γὰρ ἐπ᾽ αὐτῷ ὄντος τοῦ κινεῖν τοὺς πόδας εἰς τὸ βαδίζειν, ἢ καὶ κωλύειν αὐτοὺς, τὸ προκείμενον εἶπεν.

„Ἀπὸ [6]) τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ

---

[1]) Psalm. CXIX, 99. (CXVIII.)
[2]) Psalm. CXIX, 100. (CXVIII.)
[3]) Psalm. CXIX, 101. (CXVIII.)
[4]) Cfr. Tit. III, 3.
[5]) Psalm. CXIX, 101. (CXVIII.)
[6]) Psalm. CXIX, 102. (CXVIII.)

ἐνομοθέτησάς με,“ κ. τ. ε. Τοῦ σοῦ διαπαντὸς ἐμεμνήμην δικαστηρίου. Ἐν ἐννάτῳ δὲ λέγει ψαλμῷ· „κατάστησον[1]) *νομοθέτην ἐπ᾽ αὐτούς· γνώτωσαν ἔθνη, ὅτι ἄνθρωποί εἰσιν.“ Μωυσῆς μὲν γὰρ ἐνομοθέτησε τὰ τοῦ γράμματος τοῖς μὴ δυναμένοις χωρεῖν τὴν ἐπιδημίαν τῆς καινῆς διαθήκης· Ἰησοῦς δὲ Χριστὸς ἐπιδημήσας ἐνομοθέτησέ μοι τὸ εὐαγγέλιον, καὶ πνευματικόν μοι τὸν Μωυσέως ἔδειξε νόμον.*

„*Ὡς*[2]) *γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου, ὑπὲρ μέλι τῷ στόματί μου,“ κ. τ. ε. Ὁ ἡδόμενος καὶ τρεφόμενος ἐπὶ τῇ γνώσει νοῦς, ὀνομάζεται στόμα.*

„*Ἀπὸ*[3]) *τῶν ἐντολῶν σου συνῆκα· διὰ τοῦτο ἐμίσησα πᾶσαν ὁδὸν ἀδικίας,“ κ. τ. ε. Ἐν ταῖς σαῖς συνετὸς γενόμενος ἐντολαῖς, διαιρούσαις μοι τὰ πρακτέα· καὶ μὴν οὐ μόνον ἄπειμι πάσης ὁδοῦ ἀδικίας, ἀλλὰ καὶ μεμίσηκα.*

„*Ὤμοσα*[4]) *καὶ ἔστησα τοῦ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης σου,“ κ. τ. ε. Τὸ ἀμετάθετον τοῦ σκοποῦ ὅρκον ὠνόμασεν.*

„*Τοῦ αὐτοῦ.“ Τί ποιεῖ ἐνθάδε τὸ „ὤμοσα,“*[5]) *ζητητέον. Διέθετο*[6]) *διαθήκην πρὸς τοὺς ἐκλεκτοὺς αὐτοῦ. Καὶ ταύτην τὴν διαθήκην πρὸς τοὺς ἐκλεκτοὺς αὐτοῦ διαθεμένου τοῦ θεοῦ, ὁ πιστεύων παρεδέξατο, καὶ οἱονεὶ ὅρκοις μεταξὺ τοῦ θεοῦ ἐποιήσατο παραδεξάμενος αὐτοῦ τὴν διαθήκην, ὥστε στῆσαι καὶ φυλάξασθαι τὰ κρίματα τῆς δικαιοσύνης αὐτοῦ. Ἵστημι δέ, φησίν, αὐτὰ τῇ ἐμῇ ψυχῇ· καὶ ὅταν αὐτὰ στήσω, γίνεται ἐκεῖνο τὸ εἰρημένον παρὰ τῷ Σολομῶντι ἐν Παροι-*

---

[1]) Psalm. IX, 20.
[2]) Psalm. CXIX, 103. (CXVIII.)
[3]) Psalm. CXIX, 104. (CXVIII.)
[4]) Psalm. CXIX, 106. (CXVIII.)
[5]) Psalm. CXIX, 106. (CXVIII.)
[6]) Cfr. Psalm. LXXXIX, 3. (LXXXVIII.)

μίας· „λογισμοὶ[1]) δικαίων κρίματα.“ Ἐκεῖνα τὰ κρίματά[2]) ἐστι τῆς δικαιοσύνης τοῦ θεοῦ· τότε δὲ γενόμενα, ὅτε ὤμοσα καὶ ἔστησα αὐτὰ ἐν ἐμαυτῷ. Τὸ δὲ „στῆσαι“ ἐνταῦθα τὸ βεβαίως ὁρίσαι δηλοῖ· καὶ τὸ „ὀμόσαι“ τουτέστι τὸ ἀμεταθέτως τοῦτο προθέσθαι, καὶ ἀπαράβατον φυλάττειν τὸ ἔργον τοῦ ὅρκου μετὰ βεβαιώσεως προελέσθαι.

„Τὰ[3]) ἑκούσια τοῦ στόματός μου εὐδόκησον δὴ, κύριε, καὶ τὰ κρίματά σου δίδαξόν με,“ κ. τ. ε. Περὶ ὧν οὐ διετάχθημεν ποιεῖν, ἀλλὰ προαιρέσει ποιοῦμεν, ταῦτά φησιν ἑκούσια τοῦ στόματος ἡμῶν· οἷον, εἰ παρθενίαν ἀσκήσω, ἣν οὐ προσετάχθην, οὐδὲ ἐκελεύσθην, ἀλλ' ἑκουσίως τοῦτο ποιῆσαι κρεῖσσον αἱροῦμαι. Τοῦτο οὖν εὐδόκησον, κύριε. Καὶ ἐπὶ ἄλλων δὲ ὁμοίως τῶν κατὰ τὸν βίον ἡμῶν τοιαῦτα εὑρήσομεν, ὧν τινα μὲν ποιοῦμεν ὡς προστεταγμένοι δοῦλοι, τινὰ δὲ πράττομεν ἑκουσίως.

„Ἡ[4]) ψυχή μου ἐν ταῖς χερσί σου διαπαντὸς, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην,“ κ. τ. ε. Ζητήσεις, πῶς ἡ ψυχὴ τοῦ Δαυὶδ ἐν ταῖς χερσὶ τοῦ θεοῦ διαπαντός· πότερον ὡς ἐν δικαιοσύνῃ, ἢ ὡς ἐν γνώσει. Καὶ τάχα τὸ πρότερον. Ἀγγέλων μὲν γάρ ἐστι, τὸ διαπαντὸς βλέπειν τὸ πρόσωπον τοῦ θεοῦ, τουτέστι, τὴν θεωρίαν αὐτοῦ· ἀνθρώπων δὲ, τὸ δύνασθαι διαπαντὸς δικαιοπραγεῖν κατ' ἐνέργειαν· ὅπερ ἐστὶ τὸ εἶναι ἐν ταῖς χερσὶ τοῦ θεοῦ. Ἡ γὰρ κατὰ διάνοιαν δικαιοπραγία μόνῳ προσῆν τῷ Χριστῷ, ὃς ἁμαρτίαν οὐκ ἐποίησε, δηλονότι κατ' ἐνέργειαν, καὶ οὐχ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ· σαφὲς, ὅτι κατὰ διάνοιαν, ἀφ' ἧς προέρχονται τὰ περιττὰ τῆς καρδίας. Τὴν ψυχήν μου

---

1) Prov. XII, 5.
2) Cfr. Psalm. CXIX, 106. (CXVIII.)
3) Psalm. CXIX, 108. (CXVIII.)
4) Psalm. CXIX, 109. (CXVIII.)

σοὶ ἐγχειρίζω πάντοτε, σὲ φρουρὸν ποιοῦμαι καὶ ὑπερασπιστὴν καὶ κυβερνήτην αὐτῆς· καὶ διὰ τοῦτο τοῦ νόμου σου οὐκ ἐπελαθόμην, ἵνα μὴ ἀποπέσω. Πᾶς ὁ ἀναθεὶς ἑαυτὸν τῷ θεῷ, τὴν ψυχὴν αὐτοῦ παρατίθεται εἰς τὰς χεῖρας αὐτοῦ, καθὼς καὶ ἀλλαχοῦ εἶπεν· „ὅτι σὺ εἶ ὁ ὑπερασπιστής μου, κύριε, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου.“ Εἰ δὲ μερίζει ἑαυτὸν εἰς ἡδονὰς καὶ πάθη σωματικὰ καὶ φροντίδας βιωτικὰς, οὐ παρατίθεται τὴν ψυχὴν αὐτοῦ εἰς χεῖρας θεοῦ.

„Τοῦ αὐτοῦ.“ Ὁ δὲ Ἀκύλας οὕτω· „ψυχή[1]) μου ἐν ταρσῷ μου ἐνδελεχῶς καὶ διηνεκῶς, καὶ νόμου σου οὐκ ἐπελαθόμην“ ὁ δὲ Σύμμαχος· „ἡ ψυχή μου μετὰ χεῖράς μου διαπαντός.“ Ἡ δὲ πέμπτη ὁμοίως τοῖς ἑβδομήκοντα.

„Ἔθεντο[2]) ἁμαρτωλοὶ παγίδα μοι, καὶ ἐκ τῶν ἐντολῶν σου οὐκ ἐπλανήθην,“ κ. τ. ε. Παγίδας οἱ ἁμαρτωλοὶ πολλὰς τοῖς δικαίοις καὶ διαφόρους ῥάπτουσιν· οἷον τῷ Ἰωσὴφ ἡ Αἰγυπτία καὶ οἱ ἀδελφοί· τῷ Δανιὴλ οἱ ἀπὸ τοῦ Δαρείου λαβόντες ἐξουσίαν· ἀλλ' οὐκ ἀπεπλανήθησαν τῶν ἐντολῶν τοῦ θεοῦ. Διὰ τοῦτο τῶν παγίδων ἀνώτεροι ἐγένοντο.

„Ἐκληρονόμησα[3]) τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, ὅτι ἀγαλλίαμα τῆς καρδίας μου εἰσίν,“ κ. τ. ε. Ὅσοι χαίρουσι ταῖς ἐντολαῖς τοῦ θεοῦ, καὶ τὴν δικαιοπραγίαν ἀσπάζονται, οὗτοι διαπαντὸς κληρονομοῦσιν αὐτοῦ τὰ μαρτύρια, κλῆρον αὐτὰ καὶ μερίδα ἀντὶ πάντων τῶν ἐν τῷ κόσμῳ κτώμενοι· καὶ ὑπὲρ ἐὰν πάθωσιν ἐπ' αὐτοῖς, εὐφραινόμενοι.

„Ἔκλινα[4]) τὴν καρδίαν μου, τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν,“ κ. τ. ε.

---

1) Cfr. Psalm. CXIX, 109. (CXVIII.)
2) Psalm. CXIX, 110. (CXVIII.)
3) Psalm. CXIX, 111. (CXVIII.)
4) Psalm. CXIX, 112. (CXVIII.)

Εἰδὼς ἀποκειμένην ἀμοιβὴν ἔκλινα, ἥτις ἐστὶ βασιλεία θεοῦ· „ἃ[1]) ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.“

„Τοῦ αὐτοῦ.“ Ἡ ἀντάμειψις τῶν δικαιωμάτων ἡ γνῶσις αὐτῶν ἐστιν.

„Παρανόμους[2]) ἐμίσησα, τὸν δὲ νόμον σου ἠγάπησα,“ κ. τ. ε. Ὁ παράνομος καθὸ παράνομος ὑπάρχει, μισητός ἐστι· καθὸ δὲ εἰκὼν καὶ πλάσμα θεοῦ, ἀγαπητός ἐστι. Κατὰ γοῦν τὴν δευτέραν ἔννοιαν, καὶ τοῖς ἐν τῇ φυλακῇ προσβάλλειν ἡμῖν προτέτακται, καὶ εὖ ποιεῖν τοὺς κακούργους νενομοθέτηται. Δύναται δὲ ἐνταῦθα λέγειν λόγους καὶ νόμους, οὓς μεμίσηκεν ὁ Δαυίδ.

„Τοῦ αὐτοῦ.“ Οὐκ ἐμίσει παρανόμους ἀνθρώπους· καὶ γὰρ ἔδειξεν ὁ βίος αὐτοῦ, ὅτι οὐκ ἀνθρώπους παρανόμους ἐμίσησεν· οὔτε γὰρ τὸν πατραλοίαν Ἀβεσσαλὼμ ἐμίσησεν, οὔτε τὸν Σαοὺλ, — περὶ οὗ εἶπεν ὁ θεός· „μεταμεμέλημαι[3]) χρίσας τὸν Σαοὺλ εἰς βασιλέα·“ — διαφόρως τῷ Δαυὶδ ἐπιβουλεύσαντα, οὔτε ἄλλον τινὰ παράνομον. Ὅθεν „παρανόμους“[4]) εἰπὼν, οὐ προσέθηκεν „ἀνθρώπους·“ ὡς γὰρ ἅγιος ἐμίσει τὰ μίσους ἄξια, τοὺς λόγους τοὺς παρανόμους, τὰ δόγματα τὰ παράνομα, τὰς τοιαύτας διδασκαλίας, τὴν διάθεσιν, καθ' ἣν ἁμαρτάνουσιν. Ὅθεν τοῖς παρανόμοις λόγοις ἀντέθηκε τὸν ἀγαπώμενον νόμον. Κατὰ ταύτην τὴν ἔννοιαν καὶ πατέρα καὶ μητέρα μισεῖν προστετάγμεθα, τουτέστιν, ἀποστρέφεσθαι παρακαλοῦντας ἡμᾶς εἰς ἀσέβειαν, ἢ τοῦ κατὰ Χριστὸν ἀποτρέποντας μαρτυρίου. Ἄλλως γὰρ καὶ τοὺς ἐχθροὺς ἡμῶν ἀγαπᾷν προστετάγ-

---

[1]) I Cor. II, 9.
[2]) Psalm. CXIX, 113. (CXVIII.)
[3]) Cfr. I Sam. XV, 11. (I Regg.)
[4]) Cfr. Psalm. CXIX, 113. (CXVIII.)

μεθα. Θεοῦ δὲ προκαλουμένου εἰς τὸ καὶ τὴν ἰδίαν μισῆσαι ψυχὴν, ὁμοίως καὶ ἀνθρώπους δεῖ παρανόμους μισεῖν, ὡς ἂν αὐτοὺς ἐπιστρέψωμεν βελτιούμενοι τῷ μὴ τούτοις ὁμοιωθῆναι.

„Ἐκκλίνατε[1]) *ἀπ᾽ ἐμοῦ πονηρευόμενοι, καὶ ἐξερευνήσω τὰς ἐντολὰς τοῦ θεοῦ μου,“ κ. τ. ε. Ἐὰν μὴ ἐκκλίνωσιν ἀφ᾽ ἡμῶν οἱ δαίμονες, τὰς ἐντολὰς τοῦ θεοῦ ποιεῖν οὐκ ἰσχύομεν. Πρὸς γὰρ ταύτας μάλιστα ἵστανται, διὰ τὸ προξένους ἡμῖν γενέσθαι τῆς γνώσεως τοῦ θεοῦ.*

„Ἀντιλαβοῦ[2]) *μου κατὰ τὸ λόγιόν σου, καὶ ζήσομαι, καὶ μὴ καταισχύνῃς με ἀπὸ τῆς προσδοκίας μου.“ κ. τ. ε. „Ὅτι*[3]) *ἡ θλίψις ὑπομονὴν κατεργάζεται, ἡ δὲ ὑπομονὴ δοκιμὴν, ἡ δὲ δοκιμὴ ἐλπίδα, ἡ δὲ ἐλπὶς οὐ καταισχύνει.“*

„Τοῦ αὐτοῦ.“ „Κατὰ[4]) *τὸ λόγιόν σου·“ τουτέστι, κατὰ τὴν ὑπόσχεσίν σου. Ἐπηγγείλω γὰρ ἐν τῷ νόμῳ ὑπερασπίζειν τῶν φυλασσόντων αὐτόν. Τοῦτον τοίνυν ἔχοντα τὸν σκοπὸν, τῆς σῆς προνοίας ἀξίωσον, ἵνα μὴ ἐπιτυχὼν τῆς ἐλπίδος αἰσχύνης ἀναπλησθῶ. Τὸ δὲ λόγιον ἐνταῦθα τὴν ὑπόσχεσιν δηλοῖ· ἀντὶ τοῦ· τὴν ἐπαγγελθεῖσάν μοι παράσχου σωτηρίαν.*

„Βοήθησόν[5]) *μοι, καὶ σωθήσομαι, καὶ μελετήσω ἐν τοῖς δικαιώμασί σου διαπαντός,“ κ. τ. ε. Εἰ γὰρ καὶ ἔφη· „βοηθός*[6]) *μου καὶ ἀντιλήπτωρ μου εἶ σύ·“ ἀλλὰ δεῖται βοηθείας ἀδιαλείπτου. Ἐν ὅσῳ γὰρ ἐσμὲν ἐνταῦθα, οὔπω τέλειον τό· „σωθήσομαι·“*[7]) *ἀλλ᾽ ὅταν*

---

[1]) Psalm. CXIX, 115. (CXVIII.)
[2]) Psalm. CXIX, 116. (CXVIII.)
[3]) Rom. V, 3.
[4]) Psalm. CXIX, 116. (CXVIII.)
[5]) Psalm. CXIX, 117. (CXVIII.)
[6]) Psalm. CXIX, 114. (CXVIII.)
[7]) Psalm. CXIX, 117. (CXVIII.)

μετὰ τῶν ἀγγέλων ζήσωμεν τοῦ θεοῦ. Τότε γὰρ καὶ μελέτη δικαιωμάτων πρόσωπον πρὸς πρόσωπον, οὐ κατὰ τὴν σκιὰν, ἀλλὰ κατὰ τὴν ἀλήθειαν.

„Παραβαίνοντας¹) ἐλογισάμην πάντας τοὺς ἁμαρτωλοὺς τῆς γῆς· διὰ τοῦτο ἠγάπησα τὰ μαρτύριά σου,“ κ. τ. ε. Ἡμεῖς μὲν „παραβαίνοντας“ λέγομεν τοὺς δεδιδαγμένους τὸν λόγον, καὶ μετὰ τὸ δεδιδάχθαι, μὴ τετηρηκότας, ἀλλ' ἀποστάντας καὶ παραβεβηκότας. Οὗτος δὲ ὁρᾷ, ὅτι πάντες ἔχουσιν ἀφορμὰς πρὸς καλοκἀγαθίαν, εἰ καὶ μὴ ἐδιδάχθησαν· ὥστε μὴ μόνους παραβάτας λέγεσθαι τοὺς μετὰ τὴν πίστιν ἀποστάντας, ἀλλὰ καὶ τοὺς ὁπωσποτοῦν ἁμαρτάνοντας. Ἁμαρτωλοὶ δὲ τῆς γῆς οἱ ἐπὶ γῆς ἡμαρτηκότες ἄνθρωποι. Ἄλλοι γάρ εἰσιν ἁμαρτωλοὶ οὐρανοῦ, πρὸς οὓς ἡμῖν ἐστιν ἡ πάλη²) „πρὸς τὰ πνευματικὰ τῆς πονηρίας ἐν τοῖς ἐπουρανίοις.“ Ἐκεῖ γὰρ πρῶτον ἁμαρτόντες, ὕστερον καὶ ἐπὶ γῆς τοῦτο ποιοῦσιν.

„Καθήλωσον³) ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην,“ κ. τ. ε. Ὁ καθηλούμενος σταυροῦται. Ζητῶ οὖν τὸν σταυρὸν, καὶ ζητῶ, μήποτε ὁ σταυρός ἐστιν ὁ φόβος τοῦ θεοῦ. Καὶ γὰρ εἶπεν ὁ σωτήρ· „ὃς⁴) ἐὰν μὴ ἄρῃ τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθήσῃ μοι, οὐκ ἔστι μου ἄξιος.“ Πολλάκις δὲ διεστειλάμεθα περὶ φόβου καὶ ἀγάπης· καὶ τελειότερον εἰρήκαμεν τὸν ἀγαπῶντα τοῦ φοβουμένου, καὶ ἀναγκαῖον εἶναι τὸν φόβον πρὸς εἰσαγωγήν. Ὅπου δὲ εἰσέλθῃ „τελεία⁵) ἀγάπη, ἔξω βάλλει τὸν φόβον.“ Ἐπεὶ τοίνυν εὑρίσκεται καθηλούμενος ἐκ τοῦ φόβου ὑπὸ τοῦ θεοῦ ὁ δίκαιος, ζητῶ, μήποτε ὁ μὲν σταυρούμενος φοβεῖται καθηλούμενος ἐκ τοῦ φόβου, ἵνα νεκρώσῃ

---

¹) Psalm. CXIX, 119. (CXVIII.)
²) Cfr. Ephes. VI, 12.
³) Psalm. CXIX, 120. (CXVIII.)
⁴) Cfr. Matth. X, 38. ⁵) I Joann. IV, 18.

τὰ μέλη τὰ ἐπὶ τῆς γῆς· ἡνίκα δ' ἂν ἔλθῃ ἡ τελεία ἀγάπη, καθαιρεῖται ἀπὸ τοῦ σταυροῦ, θάπτεται, ἐκ νεκρῶν ἐγείρεται, ἵν' ἐν καινότητι ζωῆς περιπατήσῃ, οὐκέτι κατὰ φόβον, ἀλλὰ κατὰ τὴν ἀγάπην τὴν ἐν Χριστῷ Ἰησοῦ.

„Ἐποίησα[1]) *κρίμα καὶ δικαιοσύνην· μὴ παραδῷς με τοῖς ἀδικοῦσί με,“ κ. τ. ε. Πῶς οὖν Ἰὼβ ποιήσας κρίμα καὶ δικαιοσύνην, ὡς αὐτὸς ὁ κύριος ἐμαρτύρησεν, παρεδόθη τοῖς ἀδικοῦσιν αὐτόν; Ἢ τὴν ψυχὴν αὐτοῖς οὐ βούλεται παραδίδοσθαι· σώματος γὰρ καὶ κτημάτων ὁ δίκαιος οἶδεν καταφρονεῖν.*

„Δοῦλός[2]) *σου εἰμὶ ἐγὼ, συνέτισόν με, καὶ γνώσομαι τὰ μαρτύριά σου,“ κ. τ. ε. Οὐδεὶς δοῦλος τῆς ἁμαρτίας δοῦλός ἐστι τοῦ θεοῦ. Ὁ οὖν δουλεύων ἐν πάσῃ πράξει καὶ διανοήσει, ποιῶν πάντα κατὰ τὸν λόγον αὐτοῦ, οὗτος λεγέτω· „δοῦλός*[3]) *σου εἰμὶ ἐγώ.“ Τοιοῦτος ὢν ὁ προφήτης, ἀξιοῖ μισθὸν λαβεῖν τῆς δουλείας τό· „συνέτισόν*[4]) *με.“ Ἔστι γὰρ σύνεσις διδομένη ἀπὸ θεοῦ, ἣ ἀπόκειται παρὰ τῷ θεῷ ὡς ἐν θησαυροφυλακίῳ. Πνεῦμα γὰρ, φησὶ, σοφίας καὶ συνέσεως, καὶ τὰ ἑξῆς τῶν ἀγαθῶν χαρίσματα ἀναπαύσεται ἐπ' αὐτόν.*

„Καιρὸς[5]) *τοῦ ποιῆσαι τῷ κυρίῳ, διεσκέδασαν τὸν νόμον σου,“ κ. τ. ε. Καιρός ἐστι χρόνος κατορθώσεως τῷ κυρίῳ, τοῦ ποιῆσαι ἐκδίκησιν δηλονότι. Κατέλυσαν, ἠθέτησαν τὸν νόμον σου οἱ παράνομοι. Σύμμαχος· „καιρὸς πρᾶξαι τῷ κυρίῳ, ὅτι σκεδαννύουσι τὸν νόμον σου.“ Ἀκύλας· „ἠκύρωσαν.“*

---

1) Psalm. CXIX, 121. (CXVIII.)
2) Psalm. CXIX, 125. (CXVIII.)
3) Psalm. CXIX, 125. (CXVIII.)
4) Psalm. CXIX, 125. (CXVIII.)
5) Psalm. CXIX, 126. (CXVIII.)

„Διὰ[1]) τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου κατωρθούμην, πᾶσαν ὁδὸν ἄδικον ἐμίσησα,“ κ. τ. ε. Ὁ μὴ πάσας τὰς ἐντολὰς κατορθώσας, οὐδὲ πᾶσαν ὁδὸν ἄδικον ἐμίσησεν. Εἰ δὲ ὁ φοβούμενος τὸν κύριον, μισεῖ ἀδικίαν, οὗτος δὲ οὐκ ἐμίσησεν, οὐ φοβεῖται τὸν κύριον. Ὁ δὲ μὴ φοβούμενος, οὐ μακάριος, εἴπερ „μακάριος[2]) ὁ φοβούμενος τὸν κύριον.“ Ὁ τὰς ἐντολὰς τοῦ θεοῦ ἀγαπῶν, μισεῖ πᾶσαν κακίαν, ὡς ἀντικειμένην αὐταῖς. Ἀσύμβατον γὰρ ἀρετὴ καὶ κακία, φῶς καὶ σκότος, ὑγεία καὶ νόσος.

„Θαυμαστὰ[3]) τὰ μαρτύριά σου, διὰ τοῦτο ἐξηρεύνησεν αὐτὰ ἡ ψυχή μου,“ κ. τ. ε. Ἐπεὶ μεγάλα ὄντα καὶ πολὺν ἔχοντα νοῦν τὰ μαρτύριά σου θαυμαστά ἐστι, τούτου χάριν οὐχ ὡς ἔτυχεν αὐτοῖς προσέχω, ἀλλ' ἐπιτεταμένως ἐξερευνᾷ αὐτὰ ἡ ψυχή μου. Ἔχων γὰρ τὴν αὐτῶν θεωρίαν, ὁρῶ ἐμαυτὸν πολὺ τῆς ἐπιστήμης αὐτῶν ἀπολειπόμενον, καὶ δεύτερον αὐτοῖς ἐπιβάλλω. Εἶτα πάλιν ὁρῶν, ὅτι μόγις ἐν εἰσαγωγῇ αὐτῶν ὑπάρχω, ἐπιτείνω τοίνυν ἐγχωροῦσάν μοι ἔρευναν, ἕως οὗ τὴν ἀκραιφνεστάτην τῆς ἐπιστήμης αὐτῶν ἕξω ἀλήθειαν.

„Τὸ[4]) στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν,“ κ. τ. ε. Ὁ ἀνοίξας διὰ τῆς πρακτικῆς τὴν καρδίαν, εἵλκει τὸ ἅγιον πνεῦμα τὸ ἀποκαλύπτον αὐτῷ τὰ μυστήρια τοῦ θεοῦ. Τὸ στόμα τῆς ψυχῆς μου ἐστὶν ἡ διάνοια. Τοῦτο οὖν κλείσας τοῖς πονηροῖς λογισμοῖς, ἤνοιξα τοῖς ἀγαθοῖς, καὶ εἵλκυσα πνεῦμα συνέσεως, χάριτος, καὶ σοφίας.

„Τοῦ αὐτοῦ.“ Μισθὸς ἄρα τῆς χορηγίας τοῦ πνεύματος ἡ φράσις τῶν ἐντολῶν τοῦ θεοῦ καὶ ἡ κατόρ-

---

1) Psalm. CXIX, 128. (CXVIII.)
2) Psalm. CXII, 1. (CXI.)
3) Psalm. CXIX, 129. (CXVIII.)
4) Psalm. CXIX, 131. (CXVIII.)

θωσις, ὥστε ἀνοῖξαι μόνον ἡμᾶς τὸ στόμα, καὶ παραχρῆμα πνεῦμα ἐξ οὐρανῶν ἕλκειν.

„Τὰ[1]) διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία," κ. τ. ε. Τοῦ μὲν κατὰ διάνοιαν ἁμαρτάνοντος κυριεύειν λέγεται ἡ ἀνομία, τοῦ δὲ κατ' ἐνέργειαν παρανομοῦντος κατακυριεύειν. Ἢ τάχα τῶν μὲν ὀλίγα ἁμαρτανόντων κυριεύει ἡ ἀνομία, τῶν δὲ πλείονα κατακυριεύει.

„Διεξόδους[2]) ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου," κ. τ. ε. Τοὺς κατὰ διάνοιαν πειρασμοὺς νῦν τροπικῶς ὕδατα ὀνομάζει, ὧν ἡμᾶς ἀποτρέπει Σολομὼν λέγων· „ἀπὸ[3]) ὕδατος ἀλλοτρίου ἀπόσχου, καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς."

„Τοῦ αὐτοῦ." Οἱ ἡμέτεροι ὀφθαλμοὶ εἰς διεξόδους ὑδάτων καταδύνουσι τὰ τοῦ βίου πράγματα ἅπαντα, οἷς ἐστι χρεία λοιπὸν ἐκεῖθεν ἀναχθῆναι καὶ διαβλέψαι, ὥστε τὰ ἑστηκότα τοῦ μέλλοντος αἰῶνος διαθρεῖν λοιπόν.

„Τοῦ αὐτοῦ." Ὁ Σύμμαχος οὕτω·[4]) „διαιρέσεις ὑδάτων κατέδυναν οἱ ὀφθαλμοί μου περὶ τῶν μὴ φυλασσόντων τὸν νόμον σου."

„Ἐξέτηξέ[5]) με ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου οἱ ἐχθροί μου," κ. τ. ε. Οἷον ζῆλον ἀνελάμβανον, εἴποτε ἑώρων τινὰ ἐπιλελησμένον τῶν σῶν λόγων; Οὐχ ἁπλῶς ζῆλον, ἀλλὰ διάττοντά τε καὶ ἔνθερμον, καὶ αὐτόχρημα καῦσιν, εἰ ἐθεώρουν τινὰς ἐπιλανθανομένους σου τῶν λόγων. Περὶ τούτου τοῦ ζήλου ἐμνήσθησαν οἱ μαθηταὶ ἐκ προσώπου τοῦ κυρίου

---

1) Psalm. CXIX, 133. (CXVIII.)
2) Psalm. CXIX, 136. (CXVIII.)
3) Cfr. Prov. V, 15.
4) Cfr. Psalm. CXIX, 136. (CXVIII.)
5) Psalm. CXIX, 139. (CXVIII.)

ἐν ψαλμῷ εἰρημένου· „ὅτι[1]) ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με.“

„Πεπυρωμένον[2]) τὸ λόγιόν σου σφόδρα, καὶ ὁ δοῦλός σου ἠγάπησεν αὐτό,“ κ. τ. ε. Ἄδολος, φησὶν, ὁ τοῦ θεοῦ νόμος, ὡς αὐτῷ πεπυρωμένος τῷ πνεύματι· διόπερ οὐ κολακείαν, οὐκ εἰρωνείαν κέκτηται, ἀλλὰ φανερῶς τοὺς ἁμαρτάνοντας ἐλέγχει, τοὺς ἀμελοῦντας στύφει. „Ζῶν[3]) γὰρ ὁ λόγος τοῦ θεοῦ, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος, ἁρμῶν τε καὶ μυελῶν, καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας.“ Τοῦτον τοίνυν, εἴπερ ἐσμὲν δοῦλοι τοῦ θεοῦ, καὶ ἡμεῖς ἀγαπήσωμεν, μηδαμῶς αὐτὸν κυβεύοντες, μηδὲ δολοῦντες· — ὅπερ πᾶς ὁ Παῦλος ἠνίξατο· — καθαρὸν δὲ προφέροντες, καθάπερ ἐκ τῆς τοῦ πνεύματος χωνείας ἐδεξάμεθα.

„Τοῦ αὐτοῦ.“ Τὸ πεπυρωμένον[4]) λόγιον τοῦ θεοῦ κατακαίει ξύλα, χόρτον, καλάμην, τὰς μοχθηρὰς ἕξεις ἀναλίσκον.

„Ἡ[5]) δικαιοσύνη σου δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου ἀλήθεια,“ κ. τ. ε. Ἡ παρὰ ἀνθρώποις δικαιοσύνη πρὸς ὀλίγον ψηφίζεται. Δικαιοσύνη αἰώνιος, δικαιοσύνη κυρίως· ὃν ἂν δικαιοῖς, αἰωνίως καὶ δικαίως βεβαιοῖς. Ἡ δὲ τῶν ἀνθρώπων οὐ τοιαύτη· πρόσκαιρός τε γὰρ καὶ σφαλλομένη τὰ πολλά. Καὶ ὁ νόμος σου αὐτὸ χρῆμα ἀληθείας, σφόδρα ἀληθεύων ἐν πᾶσι. Νοεῖται δὲ ἀλήθεια ἡ ὀρθότης κατὰ τό· „δίκαιος[6]) εἶ, κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου.“

---

1) Psalm. LXIX, 9. (LXVIII.)
2) Psalm. CXIX, 140. (CXVIII.)
3) Hebr. IV, 12.
4) Cfr.. Psalm. CXIX, 140. (CXVIII.)
5) Psalm. CXIX, 142. (CXVIII.)
6) Psalm. CXIX, 137. (CXVIII.)

„Θλίψεις[1]) καὶ ἀνάγκαι εὕροσάν με, αἱ ἐντολαί σου μελέτη μου,“ κ. τ. ε. Ὥσπερ ἐκζητουσῶν ἡμᾶς τῶν θλίψεων καὶ τῶν ἀναγκῶν, λέγει τό· „εὕροσάν[2]) με.“ Ἢ τάχα θλίψεις οἱ θλίβοντες λέγονται, καὶ ἀνάγκαι οἱ τὰς ἀνάγκας ἐπάγοντες· ἔθος γὰρ ἔχει ἡ γραφὴ, τὰς ἕξεις ἀντὶ τῶν ἐχόντων αὐτὰς ὀνομάζειν. Οὕτω γὰρ παρὰ Παύλῳ „ἡ[3]) ἀγάπη οὐδέποτε ἐκπίπτει“ καὶ παρὰ Σολομῶντι· „ἡ[4]) κακὴ βουλὴ ἀπέλιπε τὴν διδασκαλίαν τὴν ἐκ νεότητος, καὶ τῆς θείας ἐπελάθετο διαθήκης.“ Ποιεῖ δὲ πολλάκις καὶ τὸ ἀνάπαλιν ἡ γραφὴ, καὶ τὸν πεφυκότα δέχεσθαι τὴν ἀρετὴν ἀντὶ τῆς ἀρετῆς ὀνομάζει. Ἐν γὰρ ταῖς Παροιμίαις φησίν· „οἱ[5]) ἀπαίδευτοι ἐμίσησαν σοφίαν“ ἀντὶ τοῦ· „ἀρετήν.“ Καὶ ὁ Παῦλος· „μὴ μετατίθεσθε ἀπὸ τοῦ νοὸς ἡμῶν“ τουτέστιν, ἀπὸ τῆς τοιᾶσδε γνώμης. Ἐν ταῖς θλίψεσιν αἱ ἐντολαί σου μελέτη μου ἦσαν, παρηγοροῦσαι καὶ τὸ ἄλγος ἐπικουφίζουσαι. Ταῦτα γὰρ συνέζευκται τοῖς ἐργάταις τῆς ἀρετῆς· ἐκ γὰρ τῆς τούτων διδασκαλίας τὴν ἀνδρίαν μανθάνω, καὶ φέρω γενναίως τὰ λυπηρά. Οὕτω καὶ Σύμμαχος ἡρμήνευσεν· „θλίψεις[6]) καὶ κακώσεις κατέλαβόν με, αἱ δὲ ἐντολαί σου ἔτερπόν με.“ Ὁ δὲ Ἀκύλας οὕτω· „θλιμμὸς καὶ συνοχὴ εὗρόν με, αἱ ἐντολαί σου ἀπόλαυσίς μου.“

„Δικαιοσύνη[7]) τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα, συνέτισόν με, καὶ ζήσομαι,“ κ. τ. ε. Ἡ σύνεσις προτέρα ἐστὶ τῆς γνώσεως, ὡς εἶναι τὸν γνωστικὸν καὶ συνετόν· τὸν δὲ συνετὸν οὐ πάντως καὶ γνωστικόν.

---

[1]) Psalm. CXIX, 143. (CXVIII.)
[2]) Psalm. CXIX, 143. (CXVIII.)
[3]) I Cor. XIII, 8.
[4]) Cfr. Prov. II, 16. 17.
[5]) Cfr. Prov. I, 22. coll. 29.
[6]) Cfr. Psalm. CXIX, 143. (CXVIII.)
[7]) Psalm. CXIX, 144. (CXVIII.)

„Ἐκέκραξα[1]) ἐν ὅλῃ καρδίᾳ μου, ἐπάκουσόν μου, κύριε, τὰ δικαιώματά σου ἐκζητήσω,“ κ. τ. ε. Ἐξ ὅλης καρδίας ἀγαπῶν τὸν θεὸν, οὗτος ἐν ὅλῃ κράζει καρδίᾳ.

„Τοῦ αὐτοῦ.“ Οὐχ ἡ κραυγὴ μεγάλη ἐστὶ φωνὴ, ἀλλὰ τὸ μέγεθος τῶν σημαινομένων ὑπ' αὐτῆς τῷ θεῷ· ὁ γὰρ δίκαιος μεγάλην ἀποτελεῖ πρὸς τὸν θεὸν φωνὴν, αἰτῶν ἐπουράνια καὶ μεγάλα. Οὕτω καὶ ὁ δίκαιος Ἄβελ ἀποθανὼν λαλεῖ· „φωνὴ[2]) γὰρ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρὸς μὲ ἐκ τῆς γῆς·“ ἵνα δηλωθῇ, ὅτι δίκαιος πρὸς τὸν θεὸν μεγάλῃ κέκραγε φωνῇ. Καὶ τῷ Μωυσῇ καταδιωκομένῳ ὑπὸ τῶν Αἰγυπτίων λέγει· „τί[3]) βοᾷς πρὸς μέ;“

„Προέφθασα[4]) ἐν ἀωρίᾳ καὶ ἐκέκραξα· εἰς τοὺς λόγους σου ἐπήλπισα,“ κ. τ. ε. Ἀωρία ἐστὶ νοητὴ διάθεσις ἕξεως ἐπὶ τὴν γνῶσιν σπουδάζουσα.

„Προσήγγισαν[5]) οἱ καταδιώκοντές με ἀνομίᾳ· ἀπὸ δὲ τοῦ νόμου σου ἐμακρύνθησαν,“ κ. τ. ε. Διδασκόμεθα ἀπὸ τοῦ λεγομένου εἰδέναι, τί πάσχει ὁ καταδιώκων τὸν δίκαιον· ὅσῳ γὰρ ἐγγίζει εἰς τὸ διώκειν τὸν δίκαιον, τοσούτῳ μακρὰν γίνεται τοῦ νόμου τοῦ θεοῦ. Ὅσον δὲ ἀπὸ τοῦ νόμου, μακρύνεται καὶ ἀπὸ τῆς ζωῆς, ὅτι αὐτὴ ζωὴ ἡμῶν.

„Ἐγγὺς[6]) εἶ σὺ, κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια,“ κ. τ. ε. Αὐτὸς μὲν οὖν ἐγγίζει οὕτως· ἀλλ' ἐὰν μὴ καὶ ἡμεῖς ἐνεργήσωμεν αὐτοῦ ἐγγίζοντος τὸ ἐγγίζειν αὐτῷ, οὐκ ἀπολαύσομεν τῆς ἐγγύτητος αὐτοῦ. Διὰ τοῦτο πόῤῥω εἰσὶν οἱ ἁμαρτωλοὶ τοῦ θεοῦ. „Ἰδοὺ,[7])

---

1) Psalm. CXIX, 145. (CXVIII.)
2) Gen. IV, 10.
3) Exod. XIV, 15.
4) Psalm. CXIX, 147. (CXVIII.)
5) Psalm. CXIX, 150. (CXVIII.)
6) Psalm. CXIX, 151. (CXVIII.)
7) Psalm. LXXIII, 27. (LXXII.)

οἱ μακρύνοντες ἑαυτοὺς ἀπὸ σοῦ, ἀπολοῦνται." Ὁ δὲ δίκαιος ἐνεργεῖ τὸ ἐγγίζειν τῷ θεῷ.

„Τοῦ αὐτοῦ." Ἐγγύς ἐστιν ἡ δικαιοσύνη τοῦ πεφυκότος δικαιοπραγεῖν· πολλῷ δὲ πλέον ἐστὶν ἐγγύτερον τῶν κατ' ἐνέργειαν κτησαμένων δικαιοσύνην καὶ γνῶσιν.

„Κατ'[1]) ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα ἐθεμελίωσας αὐτά," κ. τ. ε. Ἡ γνῶσίς μοι ἀρχῆθεν ἀρξαμένῳ τοῦ θεοσεβεῖν ἐλήλυθεν ἀπὸ τῶν σῶν μαρτυρίων· συνεργούμενος γὰρ ἀπὸ τοῦ νενοηκέναι τὰ μαρτύρια τὰ παραδεδομένα, οὕτως ἐφωτιζόμην, καὶ ἠκοντιζόμην ἐπὶ τὴν γνῶσιν, καὶ ἔγνων, ὅτι τὰ μαρτύρια εἰς τὸν αἰῶνα ἐθεμελίωσας. Εἰ δὲ ἐθεμελίωσεν ὁ θεὸς τὰ μαρτύρια, οὐδέπω λήγει εἰς τὸ θεμελιοῦσθαι, ἀλλὰ ζῇ τὸ θεμελιούμενον καὶ οἰκοδομούμενον. Τί δὲ ἐποικοδομεῖ; Προστάγματα, ἐντολὰς, δικαιώματα, κρίματα, σοφίαν, γνῶσιν· καὶ οὕτως ἀπαρτίζει τὴν οἰκοδομὴν ἐν πᾶσιν ἀγαθοῖς ἔργοις, λόγοις σοφίας, ἐπιστήμης γνώσει· ἅτινα ἐὰν κατὰ τὴν θεμελίωσιν τεθῇ, ἔχει τις ἑαυτοῦ οἰκοδόμημα τέλειον, ἄξιον τοῦ ἐνοικῆσαι ἐν αὐτῷ τὸν θεὸν καὶ ἐμπεριπατῆσαι.

„Ἴδε[2]) τὴν ταπείνωσίν μου καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου οὐκ ἐπελαθόμην," κ. τ. ε. Μακάριον ἐνώπιον τοῦ θεοῦ ταπεινοῦσθαι· φησὶ γὰρ Ἰάκωβος· „ταπεινώθητε[3]) ἐνώπιον κυρίου, καὶ ὑψώσει ὑμᾶς." Ὅταν τοίνυν οὕτως ταπεινωθῶμεν, κἂν ὑπὸ δαιμόνων ἐπιβουλευθῶμεν, κἂν ὑπὸ ἀνθρώπων μισούντων τὰς ἀρετὰς πολεμηθῶμεν, ἔχομεν τὸν θεὸν ἐξαιρούμενον, μόνον ἵνα τοῦ νόμου αὐτοῦ μὴ ἐπιλαθώμεθα, μηδὲ ἀποκάμωμεν ἐν ταῖς θλίψεσι.

„Μακρὰν[4]) ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δι-

---

[1]) Psalm. CXIX, 152. (CXVIII.)
[2]) Psalm. CXIX, 153. (CXVIII.)
[3]) Jacob. IV, 10.
[4]) Psalm. CXIX, 155. (CXVIII.)

καιώματά σου οὐκ ἐξεζήτησαν," κ. τ. ε. Εἰ ἡ σωτηρία ἐστὶ τῆς λογικῆς φύσεως ἡ γνῶσις τοῦ θεοῦ, αὕτη δὲ καθαραῖς ψυχαῖς ἐγγίνεται, καλῶς λέγεται τό· „μακρὰν [1]) ἀπὸ ἁμαρτωλῶν σωτηρία·" „εἰς [2]) γὰρ κακότεχνον ψυχὴν οὐκ εἰσελεύσεται σοφία." Οὗ γὰρ ἐγγὺς ἡ κρίσις, ἐγγὺς καὶ ἡ σωτηρία· καὶ οὗ μακρὰν ἡ σωτηρία, καὶ ἡ κρίσις μακράν. Διὰ τί; Ἐπειδὴ τὰ δικαιώματά σου οὐκ ἐξεζήτησεν. Οὐ γὰρ ἡ σωτηρία σου φεύγει ἡμᾶς, ἀλλ' ἡμεῖς αὐτήν· „ἦλθε [3]) γὰρ ὁ υἱὸς τοῦ ἀνθρώπου, ἡ σωτηρία, ζητῆσαι καὶ σῶσαι τὸ ἀπολωλός."

„Οἱ [4]) οἰκτιρμοί σου πολλοὶ, κύριε· κατὰ τὸ κρίμα σου ζῆσόν με," κ. τ. ε. Ἔλεος ἀνθρώπου ἐπὶ τὸν πλησίον αὐτοῦ, ἔλεος δὲ κυρίου ἐπὶ πᾶσαν σάρκα· καὶ ο δικαιότατος γὰρ ἄνθρωπος, ὡς πρὸς τὴν ἀκριβῆ τοῦ θεοῦ κρίσιν, ἐλέου δεῖται θεοῦ· ὅπου γε καὶ αὐτὸ τὸ δοκεῖν γεγονέναι δίκαιον, ἐλέῳ γίνεται τοῦ θεοῦ. Τί γὰρ ἄξιόν τις πεποίηκεν αἰωνίου μακαριότητος; Οὐδὲν δὲ ἀκρίτως ὁ θεὸς ποιεῖ, οὐδὲ ζωοποιεῖ. Οἱ οἰκτιρμοὶ δὲ πολλοὶ, πολλῶν ὄντων, ἐφ' οὓς γίνονται.

„Πολλοὶ [5]) οἱ ἐκδιώκοντές με καὶ θλίβοντες· ἐκ τῶν μαρτυρίων σου οὐκ ἐξέκλινα," κ. τ. ε. „Μακάριοι, [6]) φησὶν, οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν."

„Τοῦ αὐτοῦ." Τὸ πλῆθος ἐχθροὺς ὁρατοὺς καὶ ἀοράτους αἰνίττεται, ὧν οἱ διωγμοὶ καὶ αἱ θλίψεις διάφοροι. Οἱ μὲν γὰρ φιλίαν ὑποκρινόμενοι, τὰς ἡδονὰς ὑποβάλλουσιν· οἱ δὲ τὴν ἔχθραν γυμνώσαντες, πᾶν εἶδος πειρασμῶν ὑποφέρουσιν. Ἀλλ' ἡμεῖς ἐκ τῶν μαρτυρίων τοῦ θεοῦ μὴ ἐκκλίνωμεν, ἐν οἷς ἡμῖν διε-

---

[1]) Psalm. CXIX, 155. (CXVIII.)
[2]) Sap. Salom. I, 4. [3]) Luc. XIX, 10.
[4]) Psalm. CXIX, 156. (CXVIII.)
[5]) Psalm. CXIX, 157. (CXVIII.)
[6]) Matth. V, 10.

μαρτύρατο· „ὅτι[1]) διὰ πολλῶν θλίψεων δεῖ ἡμᾶς εἰσελθεῖν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.“

„Εἶδον[2]) ἀσυνετοῦντας, καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου οὐκ ἐφυλάξαντο,“ κ. τ. ε. „Ὁ[3]) ζῆλος τοῦ οἴκου σου κατέφαγέ με.“

„Ἴδε,[4]) ὅτι τὰς ἐντολάς σου ἠγάπησα, κύριε, ἐν τῷ ἐλέει σου ζῆσόν με,“ κ. τ. ε. Καὶ ἐπὶ τοῦτο προκαλεῖται τὸν θεὸν, καί φησι πρὸς αὐτόν· καλῶ σου τὸ πρόσωπον. Θαῤῥῶ γὰρ, ὅτι τὸ πρόσωπόν σου κλίνων πρὸς μὲ, ἵνα με κατανοήσῃς, ὄψει τίνα τρόπον τὰς ἐντολάς σου τετήρηκα· τοὺς γὰρ τύπους τῶν ἀγαθῶν ἔργων εὑρήσεις ἐν ἐμοί.

„Ἄρχοντες[5]) κατεδίωξάν με δωρεὰν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου,“ κ. τ. ε. Ἄρχοντας λέγει τοὺς κοσμοκράτορας τοῦ σκότους τούτου. „Ἔρχεται[6]) γὰρ, φησὶν, ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ εὑρίσκει οὐδέν.“ Κόσμον δὲ λέγει οὐ τὸ ἐξ οὐρανοῦ καὶ γῆς σύστημα, ἀλλὰ τοὺς κοσμικὸν βίον βιοῦντας.

„Τοῦ αὐτοῦ.“ Ἔχει μὲν καὶ τὸ ἴδιον τοῦ Δαυὶδ ὁ λόγος, ὅτι μάτην καὶ κατὰ φθόνον ὑπὸ τοῦ Σαοὺλ διωκόμενος, φόβῳ τῷ πρὸς θεὸν ἐπέσχε τὸ ἀμύνασθαι. Διήκει δὲ καὶ εἰς τὸ κοινὸν, ὅτι τῶν ἀρχοντικῶν πολεμίων οὐκ ἔστιν ἑτέρως ἀβλαβεῖς ἀπαλλάττεσθαι, μὴ οὐχὶ φόβῳ θεοῦ φρουρουμένους.

„Ἑπτάκις[7]) τῆς ἡμέρας ᾔνεσά σε· ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου,“ κ. τ. ε. Ὥσπερ ἡ ὀγδόη σύμβολόν ἐστι τοῦ μέλλοντος αἰῶνος, δύναμιν ἀναστάσεως

[1]) Act. XIV, 22.
[2]) Psalm. CXIX, 158. (CXVIII.)
[3]) Ev. Joann. II, 17. coll. Psalm. LXIX, 9. (LXVIII.)
[4]) Psalm. CXIX, 159. (CXVIII.)
[5]) Psalm. CXIX, 161. (CXVIII.)
[6]) Cfr. ev. Joann. XIV, 30.
[7]) Psalm. CXIX, 164. (CXVIII.)

περιέχουσα, οὕτω καὶ ἡ ἑβδόμη σύμβολόν ἐστι τοῦ κόσμου τούτου. Μήποτε οὖν τοὺς περὶ δικαιοκρισίας λόγους τοῦ κόσμου τούτου τοῦ αἰσθητοῦ γινώσκων ὁ Δαυὶδ, ᾔνει τὸν κύριον.

„Τοῦ αὐτοῦ.“ Παρ' ὅλον τὸν βίον αὐτοῦ ὁ δίκαιος φωτιζόμενος ἐν ἡμέρᾳ ἔσται τελείᾳ, οὐ μεσολαμβανομένῃ ὑπὸ νυκτός· καὶ αἰνεῖ τὸν θεὸν ἑπτάκις ὑπερκόσμιος γεγονὼς, τῷ ἄνω κεχωρηκέναι τοῦ ἐξ ἡμέραις γενομένου κόσμου· ὅτε καὶ ἐν τῷ παραδείσῳ τοῦ θεοῦ γενόμενος, τὸν τῆς δημιουργίας καὶ προνοίας θεοῦ λόγον θεωρήσας, ἐξομολογεῖται τὰ κρίματα τῆς δικαιοσύνης τοῦ θεοῦ· καθ' ἃ κρίματα ἕκαστον πρᾶγμα ποικίλην δημιουργίαν καὶ πρόνοιαν ἔσχεν.

„Εἰρήνη[1]) πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου, καὶ οὐκ ἔστιν αὐτοῖς σκάνδαλον,“ κ. τ. ε. Εἰ οἱ μικροὶ σκανδαλίζονται, οἱ μικροὶ οὐκ ἀγαπῶσι τὸν κύριον. „Ὅστις[2]) γὰρ σκανδαλίσῃ, φησὶν, ἕνα τῶν μικρῶν τούτων.“ Οἱ δὲ ἀγαπῶντες τὸν κύριον, οὐ σκανδαλίζονται. Οἱ μικροὶ οὐκ ἀγαπῶσι τὸν κύριον· διὸ καὶ ἀγνοοῦσι τοὺς λόγους τῶν γινομένων, ἐφ' οἷς καὶ σκανδαλίζονται. Εἰρήνη οὐ πρὸς τοὺς ἀοράτους ἐχθροὺς, ἀλλὰ πρὸς τὸν θεὸν, καὶ οὐκ ἔστιν αὐτοῖς πρόσκομμα. Ἐξομαλίζει γὰρ τούτοις ὁ νόμος τὴν ὁδὸν τῆς ἀρετῆς, πᾶν σκῶλον τῆς ἁμαρτίας ἐξαίρων. Ἡ εἰρήνη καὶ πρὸς τοὺς τῆς αὐτῆς πίστεως, εἰ καὶ ἐκεῖνοι πολλάκις εἰρηνεύειν πρὸς τούτους οὐ βούλονται.

„Προσεδόκων[3]) τὸ σωτήριόν σου, κύριε, καὶ τὰς ἐντολάς σου ἠγάπησα,“ κ. τ. ε. Μακάριος ὁ προσδεχόμενος τοῦ θεοῦ τὸ σωτήριον, ἀγαπῶν δὲ αὐτοῦ καὶ τὰς ἐντολάς. Οὗτος γὰρ εἰς βίον τέλειον, εἰς ἀκμὴν προκόπτει μακαριότητος, ἥτις αὐτοῖς τοῖς ἀποστόλοις κεκλή-

---

1) Psalm. CXIX, 165. (CXVIII.)
2) Matth. XVIII, 6.
3) Psalm. CXIX, 166. (CXVIII.)

ρωτο, πρὸς οὓς ἔλεγεν· „ἔστωσαν[1]) αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ οἱ λύχνοι καιόμενοι· καὶ ὑμεῖς ὅμοιοι ἀνθρώποις προσδεχομένοις τὸν κύριον αὐτῶν.“

„Ἐγγισάτω[2]) ἡ δέησίς μου ἐνώπιόν σου, κύριε· κατὰ τὸ λόγιόν σου συνέτισόν με,“ κ. τ. ε. Κατὰ τὰ πρότερα στοιχεῖα ὥδευε πρὸς τὸν Θεὸν, οὐδέπω ἦν ἐγγὺς αὐτοῦ· ὅτε δὲ ἐπὶ τέλει γεγένηται τοῦ λόγου τοῦ προκειμένου, καὶ κατὰ τὸ τελευταῖον παρ' Ἑβραίοις στοιχεῖον, τότε εὔχεται, ἵνα ἡ εὐχὴ αὐτοῦ ἐγγίσῃ τῷ Θεῷ, καὶ φθάσῃ πρὸς αὐτόν. Περὶ δὲ τοῦ Θεῷ ἐγγίσαι, χρὴ εἰδέναι, ὅτι διαφορὰς εὕρομεν ταύτας. Ὁ μὲν τελειότερος ἐγγίζει τῷ Θεῷ· ὁ δὲ ὑποδεέστερος καὶ ἐγγὺς τούτου, αὐτὸς μὲν οὐκ ἐγγίζει τῷ Θεῷ, εὐχὴν δὲ ἔχει ἐγγίζουσαν αὐτῷ· — ὅθεν περὶ Μωυσέως εὕροις ἂν τό· „ἐγγιεῖ Μωυσῆς μόνος πρὸς τὸν Θεὸν, οἱ δὲ λοιποὶ οὐκ ἐγγιοῦσιν“ — ἐπὶ δὲ τούτου εὐχὴν λέγουσαν· „ἐγγισάτω[3]) ἡ δέησίς μου,“ καὶ ἑξῆς. Τίς δὲ τούτων ἡ διαφορὰ, ἄξιον ἤδη θεωρῆσαι. Ὁ Θεὸς οὐκ ἐν τόπῳ ἐστὶν, ἀλλὰ δύναμίς ἐστιν ἄῤῥητος καὶ ἄφθεγκτος καὶ ἀόρατος. Εἰ δ' οὐκ ἔστιν ἐν τόπῳ ὁ Θεὸς, ἐγγίζειν δέ ἐστί ποτε τῷ Θεῷ, δηλονότι τῷ ἐν ἡμῖν ἀοράτῳ ἐγγίζομεν αὐτῷ. Τί δὲ ἐν ἡμῖν ἀόρατον; Ὁ κρυπτὸς τῆς καρδίας ἄνθρωπος, ὃν ὠνόμασεν ἡ γραφὴ „ἔσω[4]) ἄνθρωπον.“ Τούτου γοῦν ἐστιν ἐγγίσαι τῷ Θεῷ. Ἔστι δὲ ἐγγίσαι διὰ Ἰησοῦ Χριστοῦ· καὶ μάλιστα ἐὰν νοήσωμεν τὸν Χριστὸν, ὅτι ἐστὶ δικαιοσύνη, ὅτι ἐστὶν ἀλήθεια καὶ σοφία, καὶ ἀνάστασις, καὶ φῶς ἀληθινόν. Ἄνευ γὰρ τούτων οὐκ ἔστιν ἐγγίσαι Θεῷ, ἀλλ' οὐδὲ χωρὶς εἰρήνης, τῆς φρουρούσης τὴν καρδίαν καὶ τὰ νοήματα, ἥτις ἐστὶν ὁ Χριστός. Ὅσῳ δέ τις ἀπολείπεται

---

1) Cfr. Luc. XII, 35. 36.
2) Psalm. CXIX, 169. (CXVIII.)
3) Psalm. CXIX, 169. (CXVIII.)
4) Cfr. Rom. VII, 22.

τούτων, δικαιοσύνης φημὶ καὶ σοφίας, τοσούτῳ μακρὰν ἐστιν ὁ τοιοῦτος τοῦ θεοῦ.

„Εἰσέλθοι [1]) τὸ ἀξίωμά μου ἐνώπιόν σου, κύριε, κατὰ τὸ λόγιόν σου ῥῦσαί με," κ. τ. ε. Παρακαλεῖ τοιαύτην εἶναι τὴν ἀξίωσιν, δόκιμον, καὶ βέβαιον, καὶ ἀκατάγνωστον, ὥστε εἰσελθεῖν ἐνώπιον κυρίου. Γνώσομαι δὲ, εἰ εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου, εἰ ῥυσθείην ὑπὸ σοῦ κατὰ τὸν λόγον καὶ τὸ ἀξίωμά μου, καὶ τὴν σοφίαν σου. Ὁ γὰρ ἀνώτερος πάντων παθῶν γεγονὼς, καὶ τῆς ἀχρειούσης μακρὰν ὅτι μάλιστα κακίας χωρήσας, ἐῤῥύσθη ὑπὸ τοῦ θεοῦ κατὰ τὸ λόγιον αὐτοῦ. Ἀντὶ δὲ τοῦ· „τὸ [2]) ἀξίωμά μου·" ὁ μὲν Ἀκύλας· „δέησίς μου·" ὁ δὲ Σύμμαχος· „ἱκεσία μου·" εἰρήκασι. Δύο δὴ οὖν αἰτεῖ, τὴν σύνεσιν τῶν ἱερῶν λογίων, καὶ τὴν ἀπαλλαγὴν καὶ ἐλευθερίαν τῶν ἐν τῷ βίῳ κακῶν· ὃ δὲ καὶ ἡμῖν ἀναγκαῖον.

„Ἐξερεύξονται [3]) τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου," κ. τ. ε. Ἡ ἐρυγὴ ὡς ἐπίπαν γίνεται τοῖς κεκορεσμένοις. Πλησθέντες γὰρ οὕτως ἐρευγόμεθα τὴν ποιότητα τῆς τροφῆς, ἣν εἰλήφαμεν. Οἶδεν οὖν ὁ θεῖος λόγος πνευματικὴν τροφήν· αὐτὸς γὰρ ὁ λόγος φησὶν ἄρτος εἶναι· „ἐγώ [4]) εἰμι ὁ ἄρτος ὁ ζῶν, ὁ ἐξ οὐρανοῦ καταβάς· ὁ φαγὼν τοῦτον τὸν ἄρτον, ζήσεται εἰς τὸν αἰῶνα." Καί φησι γὰρ ὁ λόγος ἔχειν σάρκας ἐν τῷ· „ὁ [5]) τρώγων μου τὴν σάρκα, ἔχει ζωὴν ἐν ἑαυτῷ· ἡ γὰρ σάρξ μου ἀληθής ἐστι βρῶσις." Ἐὰν οὖν κορεσθῶμεν τούτου τοῦ ἄρτου, ὅ ἐστι τοῦ λόγου, ἐρευξόμεθα ὕμνον. Ποτὲ δὲ ἐξερεύξονται καὶ εὐχαί· τὸ γὰρ αὐτὸ γενέσθαι ἐπάναγκες καὶ

---

[1]) Psalm. CXIX, 170. (CXVIII.)
[2]) Psalm. CXIX, 170. (CXVIII.)
[3]) Cfr. Psalm. CXIX, 171. (CXVIII.)
[4]) Cfr. ev. Joann. VI, 51.
[5]) Cfr. ev. Joann. VI, 54. 55. coll. 56.

διὰ τῶν εὐχῶν, ὅταν διδάξῃς με τὰ δικαιώματά σου. Ἐὰν γὰρ μὴ διδαχθῶ τὰ δικαιώματά σου, τοιαύτην ἐρευγὴν ἐξερεύξασθαι οὐ δύναμαι.

„Τοῦ αὐτοῦ." Ὥσπερ τῶν εὐθυμούντων ἐστὶ τὸ ψάλλειν· — „εὐθυμεῖ[1]) γάρ τις, φησὶν, ἐν ὑμῖν, ψαλλέτω·" — οὕτω τὸ ὑμνεῖν τῶν θεωρούντων τοὺς λόγους τῶν δικαιωμάτων ἐστίν. Ἀλλὰ τὸ μὲν ψάλλειν ἀνθρώποις ἁρμόζει, τὸ δὲ ὑμνεῖν ἀγγέλοις, ἢ τοῖς ἀγγελικὸν ἔχουσι βίον. Διὸ καὶ οἱ ἀγραυλοῦντες ποιμένες οὐκ ἤκουσαν ἀγγέλων ψαλλόντων, ἀλλ' ἀνυμνούντων καὶ λεγόντων· „δόξα[2]) ἐν ὑψίστοις θεῷ," καὶ τὰ ἑξῆς. Ἔστι τοίνυν εὐθυμία ἀπάθεια ψυχῆς, ἀπὸ τῶν ἐντολῶν τοῦ θεοῦ καὶ τῶν ἀληθινῶν δογμάτων προσγινομένη, ὕμνος δέ ἐστι δοξολογία.

„Ζήσεται[3]) ἡ ψυχή μου, καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι," κ. τ. ε. Εἰς τὸν μέλλοντα χρόνον ἐνέκλειε τὴν ζωὴν τῆς ψυχῆς· „ἡ[4]) γὰρ ζωὴ ἡμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ." Τότε ὑμνήσει κυρίως τὸν θεόν.

„Ἐπλανήθην[5]) ὡς πρόβατον ἀπολωλὸς, ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην," κ. τ. ε. Πρῶτον μὲν τὴν πλανηθεῖσαν ψυχὴν ὡς δικαιοσύνη ἐπιστρέφει ὁ κύριος, ἔπειτα δὲ καὶ ὡς σοφία, εἴπερ πλάνη ἐστὶ ψυχῆς κακία καὶ ἀγνωσία.

---

1) Jacob. V, 13.
2) Luc. II, 14.
3) Psalm. CXIX, 175. (CXVIII.)
4) Cfr. Coloss. III, 3.
5) Psalm. CXIX, 176. (CXVIII.)

Ψαλμὸς ἑκατοστὸς ἐννεακαιδέκατος.

„Ὠιδὴ[1]) τῶν ἀναβαθμῶν," κ. τ. ε. Μόνοι[2]) οἱ τῷ βίῳ καὶ τῷ λόγῳ ἀναβαίνοντες οἰκεῖοί εἰσι τῶν ἀναβαθμῶν, καὶ τῶν ἐν ταῖς ᾠδαῖς αὐτῶν μυστηρίων. Στοχαζόμεθα τὴν μὲν πρώτην ᾠδὴν τῶν ἀναβαθμῶν λέγεσθαι ἐν τῷ λαῷ, εἴποτε πόλεμος προσεδοκᾶτο· τὴν δὲ δευτέραν, ὁπότε παρεσκευάζοντο, καὶ συμμάχων ἐδέοντο· τὴν δὲ τρίτην, μετὰ τὸ συμβαλόντες τοῖς πολεμίοις ὑπέρτεροί πως αὐτῶν γεγονέναι· τὴν δὲ τετάρτην, ὅτε περὶ τῆς νίκης ἐπὶ τέλει ἤλπιζον· τὴν δὲ πέμπτην, ἐπὶ τῷ κατωρθωκέναι· τὴν δὲ ἕκτην, ἐπανερχόμενοι· τὴν δὲ ἑβδόμην, ἐπανεληλυθότες· τὴν δὲ ὀγδόην, ἐπισκευάζοντες τὸν ναόν· τὴν δὲ ἐννάτην, μετὰ τὸ ἐν εἰρήνῃ γενέσθαι, διαγράφοντες τίς ὁ μακάριος, ἐπὶ τῷ τοὺς οἰκείους ἀπειληφέναι, καὶ εἶναι σὺν αὐτοῖς· τὴν δὲ δεκάτην, ἐν βαθείᾳ τυγχάνοντες εἰρήνῃ, ὅτε φασὶ πολλάκις μὲν πεπολεμῆσθαι, μηδεπώποτε δὲ δεδυνῆσθαι κατ' αὐτῶν τοὺς πολεμίους· τὴν δὲ ἑνδεκάτην, ἤδη τοῖς θείοις σχολάζοντες καὶ τὰ βάθη αὐτῶν συνιέντες· τὴν δὲ δωδεκάτην, ὡς οὐκ ἐπαιρόμενοι ἐπὶ τοῖς γνωσθεῖσιν· τὴν δὲ τρεῖς καὶ δεκάτην, περὶ ἀποκαταστάσεως εὔχονται Χριστοῦ· τὴν δὲ τέσσαρες καὶ δεκάτην, περὶ ἀποκαταστάσεως τῆς ἐκκλησίας· τὴν δὲ πέντε καὶ δεκάτην, περὶ τοῦ δεῖν αὐτοὺς, φθάσαντας εἰς τὸν οἶκον τοῦ θεοῦ, ἑστάναι ἐν αὐτῷ, καὶ εὐλογεῖν αὐτὸν, ἐπαίροντας τὰς χεῖρας εἰς τὰ ἅγια, ἵνα καὶ αὐτοὶ εὐλογηθῶσιν ἀπὸ κυρίου.

„Πρὸς[3]) κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα, καὶ εἰσήκουσέ μου," κ. τ. ε. Τῶν[4]) δι' ἀρετὴν καὶ γνῶσιν

---

[1]) Psalm. CXX. (CXIX.)

[2]) R. in notis: Catena Corderii.

[3]) Psalm. CXX, 1. (CXIX.)

[4]) Ruaeus: Schedae Grabii.

θλιβομένων ἐπακούει Θεὸς ἐν τῇ θλίψει τῆς αἰχμαλωσίας καὶ τῆς ἐκεῖθεν κακοπαθείας. Κραυγὴν δὲ λέγει τὴν ἐπάνοδον ψυχῆς καὶ συντετριμμένης καὶ τεταπεινωμένης πρὸς τὸν δυνάμενον ῥύσασθαι· ἧς εὐθέως ὑπακούει Θεός.

„Κύριε,[1]) ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδίκων καὶ ἀπὸ γλώσσης δολίας," κ. τ. ε. Συνεχῶς[2]) ἄνω καὶ κάτω τοῦτο παρακαλεῖ τὸν Θεὸν, τῶν τοιούτων ἐπιβουλῶν ἀπαλλάττεσθαι. Εἰ δὲ τοὺς δολεροὺς δεῖ φεύγειν καὶ ὑπούλους, πολλῷ μᾶλλον τοὺς ἀπατεῶνας, καὶ πονηρὰ δόγματα ἐνιέντας. Μάλιστα δὲ ἄδικα εἴποι τις ἂν χείλη ἐκεῖνα τὰ περὶ τὴν ἀρετὴν βλάπτοντα, τὰ πρὸς κακίαν ἐπάγοντα. Διὰ δὴ τοῦτο καὶ ὁ προφήτης οὗτος καὶ ψυχὴν αὐτοῦ ἀξιοῖ ῥυσθῆναι.

„Τὰ[3]) βέλη τοῦ δυνατοῦ ἠκονημένα σὺν τοῖς ἄνθραξι τοῖς ἐρημικοῖς," κ. τ. ε. Οὐδὲν[4]) οὕτως ἁρμόζει πρὸς τὰς ἀντικειμένας δυνάμεις, ὡς τὰ βέλη τοῦ Χριστοῦ τὰ ἀντικείμενα τοῖς πεπυρωμένοις βέλεσι τοῦ πονηροῦ, καὶ οἱ ἄνθρακες οἱ καταναλίσκοντες ξύλα, χόρτον, καλάμην. Εἰ δέ ἐστι βέλος ἀγάπης κατὰ τὴν ἐν τοῖς ᾄσμασι νύμφην· „τετρωμένη[5]) γὰρ, φησὶν, ἀγάπη ἐγώ·" ἔστι βέλος δικαιοσύνης καὶ ἀνδρίας καὶ σωφροσύνης καὶ τῶν λοιπῶν ἀρετῶν, οἷς βέλεσι τιτρωσκόμενοι ὑποκάτω τοῦ Θεοῦ πίπτουσι οἱ λαοί.

„Τοῦ αὐτοῦ." Ὁ λέγων· „ἔθηκάς[6]) με βέλος ἐκλεκτόν·" οὗτός ἐστιν ἐν πολλοῖς βέλεσι βέλος ἐκλεκτὸν, ὡς ἐν πολλοῖς υἱοῖς καὶ υἱὸς ἐκλελεγμένος. Οὐκ ἂν δὲ φαρέτρα ἦν τῷ Θεῷ δι' ἓν βέλος, περὶ ἧς φησι· „καὶ[7])

---

[1]) Psalm. CXX, 2. (CXIX.)
[2]) Ruaeus: Catena Corderii.
[3]) Psalm. CXX, 4. (CXIX.)
[4]) Ruaeus: Schedae Grabii.
[5]) Cfr. Cantic. II, 5. [6]) Cfr. Jesai. XLIX, 2.
[7]) Cfr. Jesai. XLIX, 2.

τῇ φαρέτρᾳ αὐτοῦ ἔκρυψέ με." Πάντα οὖν τὰ βέλη τοῦ δυνατοῦ θεοῦ ἠκονημένα, ἐναντία ὄντα τοῖς βέλεσι τοῦ πονηροῦ.

„Οἴμοι, [1]) ὅτι ἡ παροικία μου ἐμακρύνθη, κατεσκήνωσα μετὰ τῶν σκηνωμάτων Κηδάρ," κ. τ. ε. Οὐκ [2]) ἔστι τοῦ αὐτοῦ λέγειν· „μὴ [3]) ἀναγάγῃς με ἐν ἡμίσει ἡμερῶν μου·" καὶ τό· „οἴμοι, [4]) ὅτι ἡ παροικία μου ἐμακρύνθη." Ἢ τάχα ἡμέρας ἐκεῖ λέγει, ἃς ὁ φόβος τοῦ κυρίου κατὰ τὸν Σολομῶντα προστίθησι, τὰς ὑπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης γενομένας, ἐν αἷς καὶ Ἀβραὰμ ἀπέθανε πλήρης ἡμερῶν. Ἐνταῦθα δὲ πρὸς τὴν αἰσθητὴν δωρεὰν ἀποδύρεται· ἔχει γὰρ καὶ οὗτος ἐπιθυμίαν [5]) τοῦ ἀναλῦσαι, καὶ σὺν Χριστῷ εἶναι, πολλῷ μᾶλλον κρείσσονα, τὸ δὲ ἐπιμένειν τῇ σαρκὶ ἀναγκαιότερον διὰ τοὺς ὠφελημένους, εἴπερ ὁ Δαυὶδ κατὰ τὸν Λοῦκαν ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων, ἢ καὶ κατὰ Παῦλον, ἰδίᾳ [6]) γενεᾷ ὑπηρετήσων ἐξαπεστάλη.

„Τοῦ αὐτοῦ." „Κηδὰρ" [7]) ἑρμηνεύεται „σκοτασμός." Κατεσκήνωσα οὖν, φησὶ, μετὰ τῶν σκηνωμάτων τοῦ σκοτασμοῦ, ὅπερ ἐστὶ τοῦ σώματος τοῦ θανάτου, καὶ ἡ ψυχή μου αὕτη, φησὶ, πολλάκις παρῴκησεν.

Ψαλμὸς ἑκατοστὸς εἰκοστός.

„Ἦρα [8]) τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου," κ. τ. ε. Ἐγὼ [9]) μὲν ἦρα, φησὶ, τοὺς

[1]) Psalm. CXX, 5. (CXIX.)
[2]) Ruaeus: Schedae Grabii.
[3]) Psalm. CII, 24. (CI.)
[4]) Psalm. CXX, 5. (CXIX.)
[5]) Cfr. Philipp. I, 23. 24. [6]) Cfr. Act. XIII, 36.
[7]) Ruaeus: Catena Corderii. — Cfr. Psalm. CXX, 5. (CXIX.)
[8]) Psalm. CXXI, 1. (CXX.)
[9]) Ruaeus: Catena Corderii.

ὀφθαλμούς μου εἰς τὰ ὄρη, τοὺς ἁγίους ἀγγέλους, ὡς μέλλων ὑπό τινος αὐτῶν βοηθεῖσθαι· ἦλθε δέ μοι ἡ βοήθεια παρὰ κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν. Οὐ γὰρ ἁπλῶς προσέθηκε· ,,τοῦ [1]) ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.“ Εἰ γὰρ καὶ τὸν οὐρανὸν καὶ τὴν γῆν αὐτὸς, φησὶν, ἐποίησεν, πανταχοῦ δύναται καὶ ἐν ἀλλοτρίᾳ βοηθεῖσθαι, καὶ ἐν βαρβάροις χεῖρα ὀρέξαι.

,,Μὴ [2]) δῴης εἰς σάλον τὸν πόδα σου, μηδὲ νυστάξῃ ὁ φυλάσσων σε,“ κ. τ. ε. Μὴ [3]) περιτραπῇς, φησὶ, μηδὲ σκανδαλισθῇς· καὶ τότε ἕξεις τὸν θεὸν χεῖρα ὀρέγοντα· ὥστε παρ' ἡμῶν δεῖ εἶναι τὰς ἀρχὰς, καὶ ὁ θεὸς τοῦ ὀρέξαι χεῖρα ἕτοιμος.

,,Ἡμέρας [4]) ὁ ἥλιος οὐ συγκαύσει σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα,“ κ. τ. ε. Οὗτος, [5]) οἶμαι, ὁ ἥλιος, ὃς ἀνατέλλει ἐπὶ τὴν σπαρεῖσαν γῆν, καὶ ξηραίνων αὐτὴν, καθ' ἣν ,,ὁ [6]) ἄφρων ὡς σελήνη ἀλλοιοῦται.“

,,Κύριος [7]) φυλάξει τὴν εἴσοδόν σου, καὶ τὴν ἔξοδόν σου, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος,“ κ. τ. ε. Ἔξοδον [8]) τὴν ἀπὸ κακίας εἰς ἀρετὴν, εἴσοδον τὴν ἀπὸ τῆς ἀρετῆς εἰς τὴν γνῶσιν τοῦ θεοῦ.

---

[1]) Psalm. CXXI, 2. (CXX.)
[2]) Psalm. CXXI, 3. (CXX.)
[3]) Ruaeus: Catena Corderii.
[4]) Psalm. CXXI, 6. (CXX.)
[5]) Ruaeus: Schedae Grabii.
[6]) Sap. Sirac. XXVII, 11. (Ecclesiastic.)
[7]) Psalm. CXXI, 8. (CXX.)
[8]) Ruaeus: Schedae Grabii.

Ψαλμὸς ἑκατοστὸς εἰκοστὸς πρῶτος.

„Εὐφράνθην[1]) ἐπὶ τοῖς εἰρηκόσι μοι· εἰς οἶκον κυρίου πορευσόμεθα. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σου, Ἱερουσαλήμ,“ κ. τ. ε. Δύνανται[2]) οἱ εἰρηκότες τῷ δικαίῳ· „εἰς[3]) οἶκον κυρίου πορευσόμεθα·“ αὐτοὶ λέγειν καὶ τό· „ἑστῶτες[4]) ἦσαν οἱ πόδες ἡμῶν“ τοῖς εἰρηκόσιν υἱῷ καὶ ἁγίῳ πνεύματι, ἢ καὶ ἀγγέλοις ἁγίοις, ἢ ἀνθρώποις, τοῖς διὰ τοῦ βίου καλῶς τὴν ἐπὶ τὸν οἶκον τοῦ θεοῦ πορείαν ποιουμένοις.

„Τοῦ αὐτοῦ.“ „Ἑστῶτες[5]) ἦσαν οἱ πόδες ἡμῶν.“ Τὸ μέλλον ὡς παρεληλυθὸς λέγεται, ὡς καὶ ἐν τῷ· „διεμερίσαντο[6]) τὰ ἱμάτιά μου ἑαυτοῖς·“ καὶ ἐν τῷ· „ἔδωκαν[7]) εἰς τὸ βρῶμά μου χολήν.“

„Ἱερουσαλὴμ[8]) οἰκοδομουμένη ὡς πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό,“ κ. τ. ε. Ὅταν[9]) ἡ τῶν πιστευόντων καρδία καὶ ψυχὴ μία ᾖ, καὶ τὸ αὐτὸ ὑπὲρ ἀλλήλων μεριμνῶσι τὰ μέλη, Ἱερουσαλήμ εἰσι, καὶ „ὡς[10]) πόλις, ἧς ἡ μετοχὴ αὐτῆς ἐπὶ τὸ αὐτό.“

„Ἐκεῖ[11]) γὰρ ἀνέβησαν αἱ φυλαί,“ κ. τ. ε. Προφητεύει[12]) ἐπὶ τῶν μελλουσῶν φυλῶν ἀναβαίνειν ἐπὶ

---

1) Psalm. CXXII, 1. 2. (CXXI.)

2) Ruaeus: Catena Corderii.

3) Psalm. CXXII, 1. (CXXI.)

4) Psalm. CXXII, 2. (CXXI.)

5) Ruaeus: Catena Corderii. — Cfr. Psalm. CXXII, 2. (CXXI.)

6) Psalm. XXII, 18. (XXI.)

7) Psalm. LXIX, 21. (LXVIII.)

8) Psalm. CXXII, 3. (CXXI.)

9) Ruaeus: Catena Corderii.

10) Psalm. CXXII, 3. (CXXI.)

11) Psalm. CXXII, 4. (CXXI.)

12) Ruaeus: Schedae Grabii.

τὴν ἀρετὴν καὶ γνῶσιν τοῦ θεοῦ· πᾶσαι γὰρ αἱ φυλαὶ τετυχήκασι τῆς ἀρετῆς καὶ τῆς γνώσεως τοῦ θεοῦ.

„Ὅτι[1]) ἐκεῖ ἐκάθισαν θρόνοι,“ κ. τ. ε. Περὶ[2]) τῶν θρόνων τούτων καὶ ἐν τῷ εὐαγγελίῳ εἴρηται τό· „καθήσεσθε[3]) ἐπὶ θρόνους δώδεκα, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ. Περὶ τῶν ἐν τῇ Ἱερουσαλὴμ θρόνων ὁ Ἱερεμίας οὕτως φησί· „καὶ[4]) εἶπε κύριος πρὸς μέ· ἀπὸ προσώπου τοῦ Βοῤῥᾶ ἐκκαυθήσεται τὰ κακὰ ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν γῆν. Διότι ἰδοὺ, ἐγὼ καλῶ πάσας τὰς βασιλείας ἀπὸ Βοῤῥᾶ, λέγει κύριος· καὶ ἥξουσι καὶ θήσουσιν ἕκαστος τὸν θρόνον αὐτοῦ ἐπὶ τὰ πρόθυρα τῶν πυλῶν Ἱερουσαλὴμ, καὶ ἐπὶ πάντα τὰ τείχη τὰ κύκλῳ αὐτῆς, καὶ ἐπὶ πάσας τὰς πόλεις Ἰούδα. Καὶ λαλήσω μετὰ κρίσεως πρὸς αὐτοὺς περὶ πάσης τῆς κακίας αὐτῶν, ἧς ἐγκατέλιπόν με, καὶ ἔθυσαν θεοῖς ἀλλοτρίοις, καὶ προσεκύνησαν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν.“

Ψαλμὸς ἑκατοστὸς εἰκοστὸς δεύτερος.

„Πρὸς[5]) σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ οὐρανῷ,“ κ. τ. ε. Ὁ[6]) θεὸς ἐν μὲν τοῖς σωματικοῖς οὐρανοῖς ὡς δημιουργὸς κατοικεῖ διὰ τῆς πολυποικίλου σοφίας αὐτοῦ· ἐν δὲ τοῖς νοητοῖς ὡς δικαιοσύνη, καὶ γνώσει, καὶ σοφίᾳ.

„Ἰδοὺ,[7]) ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς

[1]) Psalm. CXXII, 5. (CXXI.)
[2]) Ruaeus: Catena Corderii.
[3]) Matth. XIX, 28. [4]) Cfr. Jerem. I, 14—16.
[5]) Psalm. CXXIII, 1. (CXXII.)
[6]) Ruaeus: Schedae Grabii.
[7]) Psalm. CXXIII, 2. (CXXII.)

κυρίας αὐτῆς,[1]) *οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς κύριον θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρήσαι ἡμᾶς,*" *κ. τ. ε.* *Δοῦλοι*[2]) *κυρίων πατρὸς καὶ υἱοῦ πνεῦμα καὶ σῶμα· παιδίσκη δὲ κυρίας τοῦ ἁγίου πνεύματος ἡ ψυχή. Τὰ δὲ τρία κύριος ὁ θεὸς ἡμῶν ἐστιν· οἱ γὰρ τρεῖς τὸ ἕν εἰσιν. Ὀφθαλμοὶ γοῦν δούλων εἰς χεῖρας κυρίων ὁρῶντες, ὅτε διὰ χειρῶν νεύοντες κελεύσουσιν. Αἱ χεῖρες κυρίων μὲν πατρὸς καὶ υἱοῦ οἱ ἑκατέρου ἄγγελοι· κυρίας δὲ τοῦ ἁγίου πνεύματος αἱ οἰκεῖοι αὐτοῦ δυνάμεις.*

„*Τοῦ αὐτοῦ.*" *Τῶν*[3]) *μὲν ἐχόντων τὸ πνεῦμα τῆς δουλείας εἰς φόβον οἱ ὀφθαλμοὶ εἰς χεῖρας κυρίων, καὶ εἰς χεῖρας κυρίας· τοῦ δὲ τὸ πνεῦμα τῆς υἱοθεσίας ἔχοντος πρὸς κύριον τὸν θεόν.*

„*Ὅτι*[4]) *ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως,*" *κ. τ. ε.* *Σύμμαχος*[5]) *οὕτως·* „*ὅτι πολὺν ἐχορτάσθημεν ἐξευτελισμόν.*"

„*Τοῦ αὐτοῦ.*" „*Τὰ*[6]) *ἐξουδενώμενα τοῦ κόσμου ἐξελέξατο ὁ θεός.*" *Διὸ δεῖ τοὺς ἐξουδενωμένους καθίζειν ἐν τῇ ἐκκλησίᾳ. Καὶ ἔστι τοῦτο δυνάμενον παραμυθήσασθαι ἐξουδενωμένους.*

„*Ἐπὶ*[7]) *πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν· τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις,*" *κ. τ. ε.* *Ἰδοὺ,*[8]) *οὗτοι ἁμαρτωλοὶ καὶ εὐθηνοῦντες. Ὁ δὲ Σύμμαχος οὕτως·* „*πολλῶν ἐχορτάσθη ἡ ψυχὴ ἡμῶν, ἐπιλαλούντων τῶν εὐθηνούντων, καὶ ἐξευτελιζόντων τῶν ὑπερηφάνων.*" *Ἀκύλας·* „*πολλὰ ἐνεπλήσθη*

---

1) Ed. Ruaei: *αὐτῶν.*

2) Ruaeus: Catena Corderii.

3) Ruaeus: Catena Corderii. — Cfr. Psalm. CXXIII, 2. (CXXII.)

4) Psalm. CXXIII, 3. (CXXII.)

5) Ruaeus: Schedae Grabii.

6) Ruaeus: Catena Corderii. — Cfr. I Cor. I, 28.

7) Psalm. CXXIII, 4. (CXXII.)

8) Ruaeus: Schedae Grabii.

ἡ ψυχὴ ἡμῶν τοῦ μυχθισμοῦ τῶν ὀνειδιζόντων, τοῦ ἐξουθενισμοῦ τῶν ὑπερηφάνων.

Ψαλμὸς ἑκατοστὸς εἰκοστὸς τρίτος.

„Εἰ [1]) μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, εἰπάτω δὴ Ἰσραήλ,“ κ. τ. ε. Εἰκὸς [2]) τῶν ἱερέων τινὰ ἑστῶτα ἐπί τινος τῶν ἀναβαθμῶν λέγειν ἐλθόντι τῷ λαῷ ἐπὶ τὸν ναὸν ἔωθεν τοιοῦτόν τι· „εἰπάτω [3]) δὴ Ἰσραήλ· εἰ μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν·“ εἶτα ποιοῦντα τὸ προσταχθὲν τὸν Ἰσραὴλ, ἄρχεσθαι μὲν ἀπὸ τοῦ· „κύριος [4]) ἦν ἐν ἡμῖν·“ συνάπτειν δὲ τὰ ἑξῆς τοῦ ψαλμοῦ. Λεγέτω δὴ τό· „εἰ [5]) μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν·“ οὐχ ὁ τυχὼν, ἀλλ' ὁ ἀληθινὸς Ἰσραὴλ, ᾧ κύριός ἐστιν εἰπόντι· „ἡμῖν [6]) εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ·“ ὅπερ καὶ Παῦλος εἶπε· „καὶ [7]) γὰρ ἐγὼ Ἰσραηλίτης εἰμί.“ Καὶ τό· „Ἰσραηλῖταί [8]) εἰσι, κἀγώ.“ Καὶ τοῦτόν γε εἰκὸς ὑπὸ τοῦ λαοῦ λέγεσθαι τὸν ψαλμὸν ἐκ προστάξεως ἱερέως, εἴποτε κινδυνεύσας ὁ λαὸς ἐν πολέμῳ, ἤ τινι ἀπὸ τῶν ἐθνῶν ἐπιβουλῇ διεσώθη, νικήσας τοὺς πολεμίους· μάλιστα εἰ μετά τινος παραδόξου ἐπιφανείας ἀνδραγαθήσαντες ἐπανήεσαν. Εἰπάτω δὲ ὁ Ἰσραὴλ καὶ τό· „πλεονάκις [9]) ἐπολέμησάν με ἐκ νεότητός μου·“ ὡς ἐν ἑκατοστῷ εἰκοστῷ ὀγδόῳ ψαλμῷ λέγεται.

---

[1]) Psalm. CXXIV, 1. (CXXIII.)
[2]) Ruaeus: Catena Corderii.
[3]) Cfr. Psalm. CXXIV, 1. 2. (CXXIII.)
[4]) Psalm. CXXIV, 2. (CXXIII.)
[5]) Psalm. CXXIV, 1. 2. (CXXIII.)
[6]) I Cor. VIII, 6. [7]) Rom. XI, 1.
[8]) Cfr. II Cor. XI, 22.
[9]) Psalm. CXXIX, 1. (CXXVIII.)

„Ἄρα[1]) ζῶντας ἂν κατέπιον ἡμᾶς," κ. τ. ε. Τὸν[2]) προδότην Ἰούδαν ζῶντα κατέπιον· εἶχε γὰρ πρὸ τῆς παραδόσεως τὴν ζωὴν τὴν εἰποῦσαν· „ἐγώ[3]) εἰμι ἡ ζωή·" τοὺς δὲ ἀπ' ἀρχῆς τῇ κακίᾳ ἐντρεφομένους νεκροὺς καταπίνουσιν.

„Ἄρα[4]) τὸ ὕδωρ ἂν κατεπόντισεν ἡμᾶς," κ. τ. ε. Ὕδωρ[5]) τροπικῶς λέγει τοὺς πειρασμοὺς τοὺς καταποντίζοντας τὴν ψυχήν· οἱ δὲ αὐτοὶ πειρασμοὶ καὶ λογισμοὶ καλοῦνται.

„Χείμαῤῥον[6]) διῆλθεν ἡ ψυχὴ ἡμῶν," κ. τ. ε. Χείμαῤῥον[7]) δὲ πάλιν λέγει τοὺς λογισμοὺς, διὰ τὸ μὴ χρονίζειν, αὐτοὺς, ἀλλὰ ἀθρόως ἐπιπηδᾷν εἰς τὸν νοῦν, καὶ πάλιν ξηραίνεσθαι.

„Τοῦ αὐτοῦ." „Καὶ[8]) ἐγένετο ῥῆμα κυρίου πρὸς Ἠλιού· πορεύου ἐντεῦθεν κατὰ ἀνατολὰς, καὶ κρύβηθι ἐν τῷ χειμάῤῥῳ Χοῤῥὰθ τοῦ ἐπὶ προσώπου τοῦ Ἰορδάνου. Καὶ ἔσται, ἐκ τοῦ χειμάῤῥου πίεσαι ὕδωρ· καὶ τοῖς κόραξιν ἐντελοῦμαι διατρέφειν σε ἐκεῖ. Καὶ ἐποίησεν Ἠλιοὺ κατὰ τὸ ῥῆμα κυρίου, καὶ ἐκάθισεν ἐν τῷ χειμάῤῥῳ Χοῤῥὰθ ἐπὶ προσώπου τοῦ Ἰορδάνου. Καὶ οἱ κόρακες ἔφερον αὐτῷ ἄρτους πρωῒ, καὶ κρέα τὸ δείλης, καὶ ἐκ τοῦ χειμάῤῥου ἔπινεν ὕδωρ. Καὶ ἐγένετο μεθ' ἡμέρας, καὶ ἐξηράνθη ὁ χείμαῤῥος, ὅτι οὐκ ἐγένετο ὑετὸς ἐπὶ τῆς γῆς."

„Ἡ[9]) ψυχὴ ἡμῶν ὡς στρουθίον ἐῤῥύσθη ἐκ τῆς

---

1) Psalm. CXXIV, 3. (CXXIII.)
2) Ruaeus: Schedae Grabii.
3) Ev. Joann. XIV, 6.
4) Psalm. CXXIV, 4. (CXXIII.)
5) Ruaeus: Schedae Grabii.
6) Psalm. CXXIV, 4. (CXXIII.)
7) Ruaeus: Schedae Grabii.
8) Ruaeus: Catena Corderii. — Cfr. I Regg. XVII, 2—7. (III Regg.)
9) Psalm. CXXIV, 7. (CXXIII.)

παγίδος τῶν θηρευόντων,“ κ. τ. ε. Ἐῤῥύσθημεν[1]) *τῶν θηρευτῶν δαιμόνων τῆς παγίδος, συντρίψαντος Χριστοῦ τὸν διάβολον, δόντος τε πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ, ὡς πρὸς μόνους αὐτὴν ἰσχύουσαν τοὺς ῥᾳθυμοῦντας· πνεύματος γάρ τε ἐλάβομεν χάριν, καὶ τρεφόμεθα τῷ τοῦ Χριστοῦ αἵματί τε καὶ σώματι.*

„*Τοῦ αὐτοῦ.*“ *Θηρεύουσιν*[2]) *ἐπὶ ψυχὴν δικαίου αἱ ἀντικείμεναι δυνάμεις, ὧν παγίδες οἱ ὑπ' αὐτῶν ἐνεργούμενοι, καὶ ἐρεθίζοντες προσκαλούμενοι ἡμᾶς εἰς τὸ ἁμαρτεῖν, καὶ πᾶσα ὕλη ἐπὶ τὸ ἁμαρτάνειν προκαλουμένη. Οὐ πίπτει δὲ στρουθίον εἰς παγίδα ἄνευ τοῦ πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς.*

„*Ἡ*[3]) *παγὶς συνετρίβη, καὶ ἡμεῖς ἐῤῥύσθημεν,*“ *κ. τ. ε. Ἡ*[4]) *μὲν παλαιὰ διαθήκη τὰς κατ' ἐνέργειαν συντρίβει παγίδας, νομοθετοῦσα τό· „οὐ*[5]) *μοιχεύσεις·“ ἡ δὲ καινὴ τὰς κατὰ διάνοιαν φθείρει παγίδας, παραγγέλλουσα τό· „οὐκ*[6]) *ἐπιθυμήσεις.“ Πλὴν ἐπὶ μὲν τοῦ Ἀβιμέλεχ τῶν Γεραρῶν τὴν κατ' ἐνέργειαν παγίδα διέφθειρε, μὴ συγχωρήσας τῆς ἀλλοτρίας αὐτὸν ἅψασθαι γυναικός· ἐπὶ δὲ Ἰωσὴφ τὴν κατὰ διάνοιαν. Οὐ γὰρ εἰσάγει ἡ γραφὴ ἐπιθυμήσαντα τῆς ἀλλοτρίας αὐτὸν γυναικός. Καὶ μακάριος μὲν, οὗ συνέτριψε κύριος τὴν κατ' ἐνέργειαν παγίδα, μακαριώτερος δὲ, οὗ τὴν κατὰ διάνοιαν παγίδα διέφθειρεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ.*

---

[1]) Ruaeus: Schedae Grabii; simile autem quidpiam anonymo tribuit Catena Corderii.

[2]) Ruaeus: Catena Corderii.

[3]) Psalm. CXXIV, 7. (CXXIII.)

[4]) Ruaeus: Schedae Grabii.

[5]) Exod. XX, 13. [6]) Rom. XIII, 9.

Ψαλμὸς ἑκατοστὸς εἰκοστὸς τέταρτος.

„Οἱ[1]) πεποιθότες ἐπὶ κύριον ὡς ὄρος Σιών," κ. τ. ε. Οἱ[2]) προσερχόμενοι Σιὼν ὄρει, καὶ πόλει θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, φοροῦσι τὴν εἰκόνα τοῦ ἐπουρανίου, καὶ πεποιθότες ἐπὶ κύριον γίνονται, ὡς ἐκεῖνο τὸ Σιὼν ὄρος.

„Τοῦ αὐτοῦ." Εἰ[3]) ἐκ τοῦ πεποιθέναι ἐπὶ κύριον, γίνεταί τις ὡς ὄρος Σιὼν, ἄλλος ἂν ἐξ ἄλλου τινὸς γένοιτ' ἂν ὡς ὄρος Χωρὴβ, καὶ ἄλλος ὡς ὄρος Σινά· καὶ ἐκ τῶν ἐναντίων εἴη ἄν τις ὡς ὄρος Αἰγύπτου, καὶ ὡς ὄρος Βαβυλῶνος, καὶ τοιούτων τῶν παρὰ τοῖς ἐχθροῖς ὀρῶν. Ἢ ὥσπερ οἱ πεποιθότες ἐπὶ κύριον ὡς ὄρος εἰσὶ Σιὼν, οὕτως οἱ ὑποδεέστεροι ὡς τὰ κύκλῳ αὐτῆς ὄρη.

„Ὄρη[4]) κύκλῳ αὐτῆς, καὶ ὁ κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ," κ. τ. ε. Ὄρη[5]) κύκλῳ Ἱερουσαλὴμ δυνάμεις, οἶμαι, θεῖαί εἰσι. „Παρεμβάλλει[6]) γὰρ ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν·" „κύκλῳ[7]) δὲ τοῦ λαοῦ αὐτοῦ αὐτὸς ὁ κύριος." Ἕτερος οὖν ὁ λαὸς κυρίου τῶν φοβουμένων τὸν κύριον. Ἄλλο γάρ· „οἶκος[8]) Ἰσραὴλ εὐλογήσατε τὸν κύριον·" ἄλλο· „οἱ[9]) φοβούμενοι τὸν κύριον εὐλογήσατε τὸν κύριον."

„Ὅτι[10]) οὐκ ἀφήσει κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων," κ. τ. ε. Ἔργον[11])

1) Psalm. CXXV, 1. (CXXIV.)
2) Ruaeus: Catena Corderii.
3) Ruaeus: Catena Corderii.
4) Psalm. CXXV, 2. (CXXIV.)
5) Ruaeus: Catena Corderii.
6) Cfr. Psalm. XXXIV, 7. (XXXIII.)
7) Cfr. Psalm. CXXV, 2. (CXXIV.)
8) Psalm. CXXXV, 19. (CXXXIV.)
9) Psalm. CXXXV, 20. (CXXXIV.)
10) Psalm. CXXV, 3. (CXXIV.)
11) Ruaeus: Catena Corderii.

κυρίου κύκλῳ ὄντος τοῦ λαοῦ αὐτοῦ, τὸ μὴ ἀφιέναι τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον φθάναι τῶν δικαίων. Δίκαιος δὲ ὁ λαὸς κυρίου.

„Τοῦ αὐτοῦ." Εἰ[1]) κλῆρος δικαίων ἐστὶν ἡ γνῶσις τοῦ θεοῦ, οὐκ ἀφήσει τοὺς δικαίους ἐν ἀγνωσίᾳ, ἵνα μὴ γένηται αὐτοῖς πρόξενος ἀγνωσίας.

„Ὅπως[2]) ἂν μὴ ἐκτείνωσιν οἱ δίκαιοι ἐν ἀνομίαις χεῖρας αὐτῶν," κ. τ. ε. Τήρει[3]) τὸ „ἐκτείνωσιν," ὅτι ἐν ἀνομίᾳ γίνεται. Πλὴν εἰ καθ' ὑπόθεσιν ἀφεθείη ἡ ῥάβδος ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον τῶν δικαίων, ἐκτενοῦσιν οἱ δίκαιοι ἐν ἀνομίᾳ χεῖρας αὐτῶν. Χρησόμεθα δὲ τοῖς ῥητοῖς, ἐὰν ἐν διωγμῷ πολλοὶ τὸν θεὸν ἀρνῶνται, καὶ τοῖς εἰδώλοις ἐπιθύωσι, λέγοντες, ὅτι, ἐπεὶ μὴ ἦσαν δίκαιοι οἱ ἀρνούμενοι, ἀφῆκε κύριος τὴν ῥάβδον τῶν ἁμαρτωλῶν ἐπὶ τὸν κλῆρον αὐτῶν, ὅπως ἐκτείνωσιν ἐν ἀνομίᾳ χεῖρας ἑαυτῶν· ἀπὸ[4]) γὰρ τοῦ μὴ ἔχοντος καὶ ὃ ἔχει ἀρθήσεται.

Ψαλμὸς ἑκατοστὸς εἰκοστὸς πέμπτος.

„Ἐν[5]) τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν Σιὼν, ἐγενήθημεν ὡσεὶ παρακεκλημένοι," κ. τ. ε. Οἱ[6]) ἀπόστολοι ταῦτα προφητεύονται λέξειν περὶ ἑαυτῶν, καὶ τῶν ἐν τοῖς ἔθνεσι. Καὶ μετὰ ταῦτα ἀποφαίνεται περὶ σπόρου καὶ θερισμοῦ.

„Τοῦ αὐτοῦ." Αἰχμαλωσία[7]) ἐστὶ φύσεως λογικῆς

---

1) Ruaeus: Schedae Grabii.
2) Psalm. CXXV, 3. (CXXIV.)
3) Ruaeus: Catena Corderii.
4) Cfr. Matth. XIII, 12.
5) Psalm. CXXVI, 1. (CXXV.)
6) Ruaeus: Catena Corderii.
7) Ruaeus: Schedae Grabii.

ἀπὸ ἀρετῆς καὶ γνώσεως ἐπὶ κακίαν καὶ ἀνόσια μετάβασις.

„Τότε[1]) ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν, καὶ ἡ γλῶσσα ἡμῶν ἀγαλλιάσεως," κ. τ. ε. Τὸ[2]) μὲν στόμα ἐπλήσθη χαρᾶς, ἡ δὲ γλῶσσα ἀγαλλιάσεως· ἀφ' ὧν ῥεῖ χαρὰ καὶ ἀγαλλίασις. Τούτων δὲ γενομένων, οἱ ἀπὸ τῶν ἐθνῶν διδασκόμενοι λέγουσιν· „ἐμεγάλυνε[3]) κύριος τοῦ ποιῆσαι μετὰ τούτων." Καὶ περὶ ἑαυτῶν δέ φασιν εὐχαριστοῦντες· „ἐμεγάλυνε[4]) κύριος ποιῆσαι μεθ' ἡμῶν, ἐγενήθημεν εὐφραινόμενοι." „Ἐπὶ[5]) μὲν τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν·" „ἐν[6]) δὲ τῷ ἐπιστρέψαι κύριον τὴν αἰχμαλωσίαν Σιὼν, ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν." Ἐπὰν ποιήσωμεν τό· „ἐθέμην[7]) τῷ στόματί μου φυλακήν·" καὶ τό· „στόμα[8]) δικαίου μελετᾷ σοφίαν·" καὶ τό· „ἄνοιγε[9]) σὸν στόμα λόγῳ θεοῦ·" καὶ ὅμοια τῷ· „τὸ[10]) στόμα ἡμῶν ἀνέῳγε πρὸς ὑμᾶς, Κορίνθιοι·" τότε ἀληθεύοντες φήσομεν καὶ τό· „ἐπλήσθη[11]) χαρᾶς τὸ στόμα ἡμῶν."

„Τότε[12]) ἐροῦσιν ἐν τοῖς ἔθνεσιν· ἐμεγάλυνε κύριος τοῦ ποιῆσαι μετ' αὐτῶν," κ. τ. ε. „Μετὰ[13]) ταῦτα γὰρ ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη."

---

1) Psalm. CXXVI, 2. (CXXV.)
2) Ruaeus: Catena Corderii.
3) Cfr. Psalm. CXXVI, 2. (CXXV.)
4) Psalm. CXXVI, 3. (CXXV.)
5) Psalm. CXXXVII, 1. (CXXXVI.)
6) Cfr. Psalm. CXXVI, 1. 2. (CXXV.)
7) Psalm. XXXIX, 1. (XXXVIII.)
8) Cfr. Psalm. XXXVII, 30. (XXXVI.)
9) Prov. XXXI, 8. (XXIV.) 10) II Cor. VI, 11.
11) Psalm. CXXVI, 2. (CXXV.)
12) Psalm. CXXVI, 2. (CXXV.)
13) Ruaeus: Schedae Grabii. — Cfr. Baruch. III, 37.

„Ἐπίστρεψον,[1]) κύριε, τὴν αἰχμαλωσίαν ἡμῶν ὡς χειμάῤῥους ἐν τῷ Νότῳ,“ κ. τ. ε. Ἀνωτέρω[2]) μὲν ὡς ἤδη ἐπιστροφῆς ἀπὸ τῆς αἰχμαλωσίας γενομένης εἴρηνται οἱ δύο στίχοι· νῦν δὲ ὡσεὶ ἐν αἰχμαλωσίᾳ ὢν, ταῦτά φησιν ὁ προφήτης· τὸ μὲν πρότερον προφητεύων, οἶμαι, περὶ τῶν ἀποστόλων· τὸ δὲ δεύτερον ἐκ προσώπου λέγων ἐθνῶν. Τῶν γὰρ ἐν τοῖς ἔθνεσίν ἐστι τὰ ἀπὸ τοῦ· „ἐμεγάλυνε[3]) κύριος τοῦ ποιῆσαι μετὰ τούτων·“ ἕως τοῦ· „ὡς[4]) χειμάῤῥους ἐν τῷ Νότῳ.“

„Οἱ[5]) σπείροντες ἐν δάκρυσιν, ἐν ἀγαλλιάσει θεριοῦσιν,“ κ. τ. ε. Οἱ[6]) μὲν τὴν πρακτικὴν μετὰ πόνου καὶ δακρύων κατεργαζόμενοι, ἐν δάκρυσι σπείρουσιν· οἱ δὲ τῆς γνώσεως ἀπόνως μεταλαμβάνοντες, ἐν ἀγαλλιάσει θεριοῦσι.

Ψαλμὸς ἑκατοστὸς εἰκοστὸς ἕκτος.

„Ἐὰν[7]) μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες· ἐὰν μὴ κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων,“ κ. τ. ε. Χρηστέον[8]) τῷ ῥητῷ πρὸς τοὺς τῆς ὑπερηφανίας λογισμούς. Ἐὰν μὴ κύριος οἰκοδομήσῃ διὰ συνεργείας τῆς παρ' αὐτοῦ, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες.

„Τοῦ αὐτοῦ.“ Πρῶτον[9]) „ᾠκοδόμησε[10]) κύριος

[1]) Psalm. CXXVI, 4. (CXXV.)
[2]) Ruaeus: Catena Corderii.
[3]) Psalm. CXXVI, 2. (CXXV.)
[4]) Psalm. CXXVI, 4. (CXXV.)
[5]) Psalm. CXXVI, 5. (CXXV.)
[6]) Ruaeus: Schedae Grabii.
[7]) Psalm. CXXVII, 1. (CXXVI.)
[8]) Ruaeus: Schedae Grabii.
[9]) Ruaeus: Catena Corderii. — Cfr. Psalm. CXXVII, 1. (CXXVI.)
[10]) Gen. II, 22.

τὴν πλευρὰν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδὰμ εἰς γυναῖκα·" ὃς ἐπεὶ μὴ ᾠκοδόμησε μετὰ τοῦ Κάϊν οἰκοδομοῦντος ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ Ἐνὼχ πόλιν, εἰς μάτην ἐκοπίασεν ὁ οἰκοδομῶν Κάϊν. Ἀλλὰ καὶ οἱ κινήσαντες ἀπ' ἀνατολῶν, καὶ εἰπόντες· „δεῦτε,[1]) οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον·" μάτην ἐκοπίασαν οἰκοδομοῦντες, ἐπεὶ μὴ συνῳκοδόμει αὐτοῖς κύριος. Ἐστέναξαν δ', οἶμαι, Ἑβραῖοι ἐν Αἰγύπτῳ, ὡς μάτην ἐν τῷ οἰκοδομεῖν κοπιῶντες, ἐπεὶ μὴ κύριος ᾠκοδόμει σὺν αὐτοῖς.

„Τοῦ αὐτοῦ." Τὸν[2]) ἐν Ἱερουσαλὴμ οἶκον οἰκοδομοῦντες μάτην ἐκοπίασαν, διὸ καθῃρέθη· οὐκ ἂν καθῃρέθη, εἰ κύριος αὐτὸν ᾠκοδομήκει. Τὸν δὲ οἶκον τοῦ θεοῦ, ὄντα ἐκκλησίαν αὐτοῦ, οἱ οἰκοδομοῦντες ἀπόστολοι Χριστοῦ, καὶ οἱ τεταγμένοι ὑπ' αὐτοῦ διδάσκαλοι, οὐ μάτην ἐκοπίασαν· κύριος γὰρ αὐτὸν ᾠκοδόμησε. Καὶ ἄλλως δὲ οἶκον οἰκοδομοῦσιν οὐ μετὰ κυρίου οἱ ἑτερόδοξοι, τὴν ἐκκλησίαν πονηρευομένων· διὸ εἰς μάτην ἐκοπίασαν. Ὁμοίως καὶ Ἰουδαῖοι.

„Τοῦ αὐτοῦ." Ἐφ'[3]) ὅσον οἶκός ἐστιν ἡ ψυχὴ, ὡς οἰκοδεσπότην ἔχει ἐν ἑαυτῇ τὸν θεόν· ἐὰν δὲ γένηται ναὸς, ὡς θεὸν ὑπάρχοντα ἔχει ἐν αὐτῇ τὸν Χριστόν. Καὶ διὰ μὲν πρακτικῆς κτᾶται ὡς οἰκοδεσπότην αὐτὸν, διὰ δὲ φυσικῆς θεωρίας ὡς βασιλέα· καὶ πάλιν διὰ θεολογίας ὡς θεόν. Καὶ τῷ μὲν τρίτῳ ἕπεται ἐξ ἀνάγκης τὰ δύο, ὥσπερ καὶ τῷ δευτέρῳ τὸ πρῶτον· τῷ δὲ πρώτῳ νῦν οὐκ ἐξ ἀνάγκης τὸ δεύτερον καὶ τὸ τρίτον.

„Εἰς[4]) μάτην ὑμῖν ἐστι τὸ ὀρθρίζειν· ἐγείρεσθε μετὰ τὸ καθῆσθαι οἱ ἐσθίοντες ἄρτον ὀδύνης, ὅταν δῷ

---

[1]) Gen. XI, 4.

[2]) Ruaeus: Catena Corderii. — Cfr. Psalm. CXXVII, 1. (CXXVI.)

[3]) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXXVII, 1. (CXXVI.)

[4]) Psalm. CXXVII, 2. (CXXVI.)

τοῖς ἀγαπητοῖς αὐτοῦ ὕπνον," κ. τ. ε. Ὥσπερ[1]) *ὁ ὕπνος ἀφίστησιν ἡμᾶς τῶν αἰσθητῶν, οὕτω καὶ ἡ τοῦ θεοῦ θεωρία τῶν αὐτῶν ἀφίστησι.*

„Τοῦ αὐτοῦ." Ὥσπερ[2]) *ὑπνοῦντες οὐδ' αὐτὸ τοῦτο γινώσκομεν, ὅτι ὑπνοῦμεν, οὕτω καὶ θεωροῦντες μηδ' αὐτὸ τοῦτο γινώσκομεν, ὅτι ἐν θεωρίᾳ γεγόναμεν.*

„Τοῦ αὐτοῦ." Εἰ[3]) *ἡ πρακτικὴ ἄρτου λόγον ἐπέχει, ὁ δὲ ὕπνος τῆς γνώσεως, καλῶς μετὰ τὴν βρῶσιν τοῦ ἄρτου τῆς ὀδύνης δίδοται ἡμῖν ὁ ὕπνος· μόνη γὰρ ἡ γνῶσις τοῦ θεοῦ πέφυκε λύειν τὸν κάματον τῆς πρακτικῆς.*

„Τοῦ αὐτοῦ." Εἰ[4]) *ὁ ὕπνος εἴωθε σῶμα θερμαίνειν, καλῶς ἡ γνῶσις λέγεται ὕπνος· πάντας γὰρ τοὺς κεκτημένους αὐτὴν ποιεῖ τῷ πνεύματι ζέοντας.*

„Τοῦ αὐτοῦ." Ὥσπερ[5]) *ὁ ὕπνος πέπτων τὰς τροφὰς, διὰ τῶν χυμῶν τρέφει τὸ σῶμα, οὕτω καὶ ἡ γνῶσις τρέφει τὴν ψυχὴν, τοὺς τῆς πρακτικῆς αὐτὴν λόγους διδάσκουσα.*

„Ἰδοὺ,[6]) *ἡ κληρονομία κυρίου, υἱοὶ, ὁ μισθὸς τοῦ καρποῦ τῆς γαστρός," κ. τ. ε. Ἡ*[7]) *κληρονομία κυρίου οὐ θυγατέρες, ἀλλ' υἱοὶ, οἵτινές εἰσι μισθὸς τοῦ καρποῦ τῆς γαστρός. Τοιοῦτοι δὲ οἱ δίκαιοι υἱοί. Διὸ τρὶς ὀφθήσονται τοῦ ἐνιαυτοῦ ἐνώπιον κυρίου τοῦ θεοῦ. Οὐδεὶς δὲ ἄδικος υἱὸς μισθός ἐστιν ἢ κληρονομία κυρίου.*

---

[1]) Ruaeus: Schedae Grabii.

[2]) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXXVII, 2. (CXXVI.)

[3]) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXXVII, 2. (CXXVI.)

[4]) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXXVII, 2. (CXXVI.)

[5]) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXXVII, 2. (CXXVI.)

[6]) Psalm. CXXVII, 3. (CXXVI.)

[7]) Ruaeus: Catena Corderii.

Ψαλμὸς ἑκατοστὸς εἰκοστὸς ἕβδομος.

„Μακάριοι [1]) πάντες οἱ φοβούμενοι τὸν κύριον, οἱ πορευόμενοι ἐν ταῖς ὁδοῖς αὐτοῦ," κ. τ. ε. Πολλαὶ [2]) ὁδοὶ κυρίου ἐν αἷς οἱ πορευόμενοι μακάριοι, ἀφ᾽ ὧν ἔστιν ὁδεῦσαι ἐπὶ τὸν εἰπόντα· „ἐγώ [3]) εἰμι ἡ ὁδός·" ὡς ἀπὸ τῶν πολλῶν μαργαριτῶν ἐπὶ τὸν πολύτιμον ἕνα. Εἰ μακάριοι πάντες οἱ φοβούμενοι τὸν κύριον, οἱ μὴ φοβούμενοι τὸν κύριον οὐ μακάριοι· ἐπεὶ μὴ οὕτως μακάριοι οἱ ἔξω βαλόντες τὸν φόβον. Οἱ δὲ φοβούμενοι τὸν κύριον, πορεύονται ἐν ταῖς ὁδοῖς αὐτοῦ. Εἰ δέ τις μὴ πορεύεται, οὐ φοβεῖται.

„Τοῦ αὐτοῦ." Εἰ [4]) φόβος κυρίου προστίθησιν ἡμέρας, μακάριοι πάντες οἱ φοβούμενοι τὸν κύριον.

„Τοῦ αὐτοῦ." Εἰ [5]) ὁ πορευόμενος ὀρθῶς φοβεῖται τὸν κύριον, μακάριοι πάντες οἱ φοβούμενοι τὸν κύριον.

„Τοὺς [6]) πόνους τῶν καρπῶν σου φάγεσαι," κ. τ. ε. Ὅσῳ [7]) πλείους οἱ πόνοι τῶν καρπῶν, τοσούτῳ πλείους αἱ ἐν τῷ μέλλοντι αἰῶνι τροφαί. Πόνους δὲ λέγει τῶν ἐν ταῖς χερσὶ μελῶν, ἃ καρποὶ ὀνομάζονται. Ἀγαθοὶ οὖν οἱ πόνοι τῶν καρπῶν καὶ τρόφιμοι, ἀφ᾽ ὧν ἀναβαίνομεν ἐπὶ τὸν ζῶντα ἄρτον.

„Ἡ [8]) γυνή σου ὡς ἄμπελος εὐθηνοῦσα ἐν ταῖς κλίτεσι τῆς οἰκίας σου· οἱ υἱοί σου ὡς νεόφυτα ἐλαιῶν

---

1) Psalm. CXXVIII, 1. (CXXVII.)

2) Ruaeus: Catena Corderii.

3) Ev. Joann. XIV, 6.

4) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXXVIII, 1. (CXXVII.)

5) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXXVIII, 1. (CXXVII.)

6) Psalm. CXXVIII, 2. (CXXVII.)

7) Ruaeus: Catena Corderii, quae et alia plura subjicit tanquam Origenis, licet Theodoreti sint.

8) Psalm. CXXVIII, 3. (CXXVII.)

κύκλῳ τῆς τραπέζης σου," κ. τ. ε. Οὐδεὶς[1]) ἀλλότριος τοῦ θεοῦ τούτων τεύξεται· οὐ γάρ ἐστι σωματικὰ, ἀλλὰ πνευματικὰ, περὶ ὧν ταῦτα λέλεκται. Ὅτι ἀμπελῶνες καὶ ἐλαιῶνες εὐλογοῦνται τῶν δικαίων, τροπολογητέον εἰς γυναῖκα καὶ υἱοὺς τὸν λόγον, ἤτοι αὐτολέξει. Ἢ ὅτι σοφία μὲν ἡ γυνὴ, πράξεις δὲ οἱ υἱοί· γυνὴ δὲ, ἡ οὖσα μερὶς ἀγαθὴ, ἢ ἡ παρὰ τῷ Σολομῶντι ἀνδρεία, ἄμπελός ἐστιν εὐθηνοῦσα, καὶ μάλιστα, ὅτε οἰκουρός ἐστιν ἀγαθή. Ἡ δὲ μὴ τοιαύτη γυνὴ, ἐξ ἀμπέλου ἐστὶ Σοδόμων. Καὶ λέγοιτο δ' ἂν πρὸς μεταβάλλουσαν εἰς τὸ χεῖρον γυναῖκα· „πῶς[2]) ἐστράφης εἰς πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία;"

„Τοῦ αὐτοῦ." Γυνὴ[3]) τοῦ νοῦ ἡ σοφία ἐστίν. „Ἐράσθητι[4]) γὰρ, φησὶν, αὐτῆς, καὶ τηρήσει σε." „Τίμησον[5]) αὐτὴν, ἵνα σὲ περιλάβῃ, καὶ κτήσῃ ἀπ' αὐτῆς λόγους σοφούς." „Εἶπον[6]) τὴν σοφίαν ἀδελφὴν σὴν εἶναι." Ἀδελφὴν δὲ αὐτὴν ὀνομάζει, διότι καὶ αὐτὴ ἐκ τοῦ πατρὸς πάντων ἐστί. Μνημονευτέον δὲ καὶ τοῦ Ἀβραὰμ, πῶς τὴν ἰδίαν γυναῖκα ὠνόμασεν ἀδελφὴν, πάντως τοῦ βουλομένου τὴν σοφίαν εἶναι διδάσκων.

„Ἰδοὺ,[7]) οὕτως εὐλογηθήσεται ἄνθρωπος ὁ φοβούμενος τὸν κύριον," κ. τ. ε. Ὁ[8]) λεγόμενος ἄνθρωπος, διὰ τὸ φοβεῖσθαι τὸν κύριον, ἀγρὸν ἔχει· ἄμπελον δὲ ἐν ταῖς κλίτεσι τῆς οἰκίας αὐτοῦ τὴν γυναῖκα· νεόφυτα δὲ ἐλαιῶν κύκλῳ τῆς τραπέζης ἑαυτοῦ τοὺς υἱούς.

---

[1]) Ruaeus: Catena Corderii.

[2]) Jerem. II, 21.

[3]) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXXVIII, 3. (CXXVII.)

[4]) Prov. IV, 6.

[5]) Cfr. Prov. IV, 8.

[6]) Prov. VII, 4.

[7]) Psalm. CXXVIII, 4. (CXXVII.)

[8]) Ruaeus: Catena Corderii.

„Καὶ[1]) ἴδοις υἱοὺς τῶν υἱῶν σου,“ κ. τ. ε. Καὶ[2]) ὁ Σολομών φησιν· „ἀγαθὸς[3]) ἀνὴρ κληρονομήσει υἱοὺς υἱῶν.“

Ψαλμὸς ἑκατοστὸς εἰκοστὸς ὄγδοος.

„Πλεονάκις[4]) ἐπολέμησάν με ἐκ νεότητός μου, εἰπάτω δὴ Ἰσραήλ,“ κ. τ. ε. Ὁ[5]) ἐκ παίδων ἀγωνιζόμενος, ταῦτα ἐρεῖ, καὶ ἐν τῷ πολλάκις πεπολεμῆσθαι νικήσας τοὺς πολεμίους· καὶ ὁ φάσκων· „ὁ[6]) θεὸς ὁ τρέφων με ἐκ νεότητός μου.“

„Ἐμάκρυναν[7]) τὴν ἀνομίαν αὐτῶν,“ κ. τ. ε. Χρήσιμον[8]) εἰς τοῦτο τό· „οὐαὶ[9]) οἱ ἐπισπώμενοι ἁμαρτίας ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας.“ Ὅσῳ δέ τις μακρύνει τὴν ἀνομίαν ἑαυτοῦ, τοσούτῳ μακρύνει ἑαυτὸν ἀπὸ τοῦ θεοῦ.

„Γενηθήτωσαν[10]) ὡσεὶ χόρτος δωμάτων, ὃς πρὸ τοῦ ἐκσπασθῆναι ἐξηράνθη,“ κ. τ. ε. Ἡ[11]) διδασκαλία τῶν κατὰ τῆς γνώσεως τοῦ θεοῦ ἐπαιρουμένων ὑψωμάτων χόρτος ἐστὶ δωμάτων, ξηραινόμενος πρὸ τοῦ ἐκσπασθῆναι· μήτε πλήρεις ποιῶν τὰς χεῖρας ἐν πράξεσιν ἀγαθαῖς, μήτε τὸν κόλπον ἐν γνώσει· περὶ ἧς οὐ φασὶν

---

1) Psalm. CXXVIII, 6. (CXXVII.)
2) Ruaeus: Schedae Grabii.
3) Prov. XIII, 22.
4) Psalm. CXXIX, 1. (CXXVIII.)
5) Ruaeus: Catena Corderii.
6) Cfr. Gen. XLVIII, 15.
7) Psalm. CXXIX, 3. (CXXVIII.)
8) Ruaeus: Catena Corderii.
9) Cfr. Jesai. V, 18.
10) Psalm. CXXIX, 6. (CXXVIII.)
11) Ruaeus: Catena Corderii.

οἱ παράγοντες ὁμοίως τῷ εἰπόντι· „παρελθὼν[1]) ὄψομαι τὸ ὅραμα τὸ μέγα τοῦτο.“

Ψαλμὸς ἑκατοστὸς εἰκοστὸς ἔννατος.

„Ἐκ[2]) βαθέων ἐκέκραξά σοι, κύριε,“ κ. τ. ε. Οὐκ[3]) ἐξ ἐπιπολῆς, ἀλλ' ἐκ τῶν ἐν ἑαυτῷ βαθέων κέκραγε πρὸς κύριον. Τὸ δέ· „ἐκέκραξά σοι·“ ἕτερον τυγχάνον τοῦ· „ἐκέκραξα πρὸς σέ· δύναται σημαίνειν, ὅτι μεγάλως καὶ μεγάλῃ φωνῇ, νοητῶς δὴ μεγάλῃ, ἐθεολόγησα. Ὁ μὲν οὖν φαῦλος τοῖς χείλεσι τιμᾷ κύριον, πόῤῥω ἀπέχων ἀπ' αὐτοῦ τῇ καρδίᾳ· ὁ δὲ μακάριος τῷ τὸ πνεῦμα κράζειν ἐν τῇ καρδίᾳ αὐτοῦ, ἐκ βαθέων ἐκέκραγε πρὸς τὸν κύριον.

„Τοῦ αὐτοῦ.“ Ὁ[4]) τὰ βάθη ἐρευνῶν τοῦ θεοῦ, οὗτος ἐκ βαθέων κράζει πρὸς κύριον.

„Γενηθήτω[5]) τὰ ὦτά σου προσέχοντα,“ κ. τ. ε. Τὰ[6]) ὦτα κυρίου καλεῖ τὴν ἐπακουστικὴν εὐχῶν δύναμιν αὐτοῦ.

„Ἐὰν[7]) ἀνομίας παρατηρήσῃς κύριε, κύριε, τίς ὑποστήσεται;“ κ. τ. ε. Ἐὰν[8]) αἱ κατὰ διάνοιαν ἁμαρτίαι, τὸν νοῦν ἀκάθαρτον ποιοῦσαι, τῆς τοῦ θεοῦ γνώσεως αὐτὸν ἀφιστῶσιν, οὐδεὶς ἀνθρώπων καταξιωθήσεται γνώσεως. „Τίς[9]) γὰρ καυχήσεται ἁγνὴν ἔχειν καρ-

---

[1]) Exod. III, 3.

[2]) Psalm. CXXX, 1. (CXXIX.)

[3]) Ruaeus: Catena Corderii.

[4]) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXXX, 1. (CXXIX.)

[5]) Psalm. CXXX, 2. (CXXIX.)

[6]) Ruaeus: Schedae Grabii.

[7]) Psalm. CXXX, 3. (CXXIX.)

[8]) Ruaeus: Schedae Grabii.

[9]) Prov. XX, 9.

δίαν;" Ἢ τίς παῤῥησιάσεται καθαρὸς εἶναι ἀπὸ ἁμαρτιῶν; „Καὶ[1]*) οὐδεὶς, φησὶ, καθαρὸς ἀπο ῥύπου, οὐδ' ἂν ἐν μιᾷ ὥρᾳ ἡ ζωὴ αὐτοῦ."*

„Ὅτι[2]*) παρὰ σοὶ ὁ ἱλασμός ἐστι," κ. τ. ε. Ὁ*[3]*) παρὰ τῷ κυρίῳ ἱλασμὸς τῶν ἀνομιῶν ὁ Χριστός ἐστιν· „αὐτὸς*[4]*) γὰρ ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν."*

„Ἕνεκεν[5]*) τοῦ ὀνόματός σου ὑπέμεινά σε, κύριε," κ. τ. ε. Ἡ*[6]*) διὰ τοῦ θεοῦ ὄνομα ὑπομονὴ, κρείττων τῆς δι' ἄλλο τι. Καὶ εἰς λόγον τοῦ κυρίου γενομένη ἡ ψυχὴ, ἐπαινετῶς ὑπομένει.*

„Ὑπέμεινεν[7]*) ἡ ψυχή μου εἰς τὸν λόγον σου· ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν κύριον," κ. τ. ε. Ἡ*[8]*) ἐλπὶς ἐκ δοκιμῆς πέφυκε γίνεσθαι, ἡ δὲ δοκιμὴ ἐκ τῆς ὑπομονῆς, ἡ δὲ ὑπομονὴ ἐκ τῆς θλίψεως, ἡ δὲ θλίψις ἐκ τῆς ἐγκρατείας καὶ τῶν πειρασμῶν. Τούτων δὲ αἴτιος ὁ φόβος τοῦ θεοῦ, ὅστις τῇ ὀρθῇ πίστει συνέζευκται. Πίστις δέ ἐστιν ἡ πρὸς τὰ μὴ κατειλημμένα συγκατάθεσις.*

„Καὶ[9]*) αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ," κ. τ. ε. Τοτηνικαῦτα*[10]*) ὁ νοῦς ἀπαλλάσσεται τῶν κατὰ διάνοιαν ἁμαρτιῶν, ἢ ἀνομιῶν, ὁπηνίκα ἂν γνώσεως καταξιωθῇ· ἡ γὰρ πρακτικὴ οὐ τὰ νοήματα τῆς καρδίας περιαιρεῖ, ἀλλὰ τὰ ἐμπαθῆ νοήματα.*

---

1) Cfr. Job. XIV, 4. 5.
2) Psalm. CXXX, 4. (CXXIX.)
3) Ruaeus: Catena Corderii.
4) I Joann. II, 2.
5) Psalm. CXXX, 4. 5. (CXXIX.)
6) Ruaeus: Catena Corderii.
7) Psalm. CXXX, 5. 6. (CXXIX.)
8) Ruaeus: Schedae Grabii.
9) Psalm. CXXX, 8. (CXXIX.)
10) Ruaeus: Schedae Grabii.

Ψαλμὸς ἑκατοστὸς τριακοστός.

„Κύριε,[1]) οὐχ ὑψώθη ἡ καρδία μου, οὐδὲ ἐμετεωρίσθησαν οἱ ὀφθαλμοί μου,“ κ. τ. ε. Αὗται[2]) φωναὶ δικαίου ἐν χαρίσμασι μεγάλοις καὶ θαυμασίοις μὴ τετυφωμένου, μηδὲ ὑπεραιρομένου, μηδὲ φυσιουμένου, ἀλλὰ καὶ ἐν τούτοις ταπεινοφρονοῦντος.

„Εἰ[3]) μὴ ἐταπεινοφρόνουν, ἀλλὰ ὕψωσα τὴν ψυχήν μου· ὡς τὸ ἀπογεγαλακτισμένον ἐπὶ τὴν μητέρα αὐτοῦ, ὡς ἀνταποδώσεις ἐπὶ τὴν ψυχήν μου.“ κ. τ. ε. Ὡς[4]) ὁ Ἰσαὰκ καὶ ὁ Σαμουὴλ ἀπεγαλακτίσθησαν, οὕτως καὶ οὗτος ἐκείνους καὶ τοὺς ὁμοίους αὐτοῖς μιμησάμενος. Οὐχ ὑψοῦται δὲ ἡ ψυχὴ τοῦ ἀπογαλακτισθέντος τινὸς ὑψοῦντος αὐτὴν, ἀλλ᾽ ὑψοῦται ἐπὶ τὴν ἑαυτοῦ μητέρα· περὶ ἧς εἴρηται· „ἡ[5]) δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστὶν, ἥτις ἐστὶ μήτηρ ἡμῶν,“ καὶ τὰ ἑξῆς.

„Τοῦ αὐτοῦ.“ Τῇ[6]) τοῦ ἀπογεγαλακτισμένου ψυχῇ ἀποδίδωσιν ὁ κύριος μισθὸν τῆς ἐπὶ τοσοῦτον ἀναβάσεως.

„Ἐλπισάτω[7]) Ἰσραὴλ ἐπὶ τὸν κύριον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος,“ κ. τ. ε. Ἐν[8]) μὲν τῇ πρὸ ταύτης ᾠδῇ λέλεκται· „ἀπὸ[9]) φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν κύριον·“ ἐν δὲ ταύτῃ καὶ ἕως πότε; Διὰ τό· „ἀπὸ[10]) τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.“ Μετ᾽ ἐκεῖνον γάρ τις ἀπολαύει τὰ ἐλπιζόμενα.

---

[1]) Psalm. CXXXI, 1. (CXXX.)

[2]) Ruaeus: Catena Corderii.

[3]) Psalm. CXXXI, 2. (CXXX.)

[4]) Ruaeus: Catena Corderii.

[5]) Galat. IV, 26.

[6]) Ruaeus: Catena Corderii. — Cfr. Psalm. CXXXI, 2. (CXXX.)

[7]) Psalm. CXXXI, 3. (CXXX.)

[8]) Ruaeus: Catena Corderii.

[9]) Cfr. Psalm. CXXX, 6. 7. (CXXIX.)

[10]) Psalm. CXXXI, 3. (CXXX.)

Ψαλμὸς ἑκατοστὸς τριακοστὸς πρῶτος.

„Μνήσθητι,[1]) κύριε, τοῦ Δαυὶδ, καὶ πάσης τῆς πραότητος αὐτοῦ," κ. τ. ε. Ἐκείνου[2]) μνημονεύει ὁ κύριος τοῦ, ἐν ᾧ γίνεται, κἀκείνου οὐ μνημονεύει τοῦ, ἐν ᾧ οὐ γίνεται. Εἰ δὲ πραότητος μνημονεύει ὁ κύριος, πολλῆς ἀοργησίας χρεία, ἵνα τις δέξηται τὸν κύριον. Πραότης γάρ ἐστιν ἀταραξία θυμοῦ κατὰ στέρησιν ἡδονῶν προσγινομένη φθαρτῶν.

„Τοῦ αὐτοῦ." Ἀντί·[3]) „πραότητος·" Ἀκύλας „κακουχίαν" ἐξέδωκεν, ὁ δὲ Σύμμαχος „κάκωσιν," ἡ δὲ πέμπτη „ταπείνωσιν."

„Ἕως[4]) οὗ εὕρω τόπον τῷ κυρίῳ," κ. τ. ε. Τόπος[5]) κυρίου ὁ νοῦς καθαρός.

„Εὕρομεν[6]) αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ," κ. τ. ε. Περὶ[7]) τῆς σοφίας λέγει προφητικῶς, ἥτις ἐστὶν ὁ Χριστός.

„Οἱ[8]) ἱερεῖς σου ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται," κ. τ. ε. Ὥσπερ[9]) ἐνδύεταί τις δικαιοσύνην, οὕτω καὶ σωφροσύνην καὶ ἀνδρείαν καὶ ἀγάπην καὶ μακροθυμίαν, καὶ τὰς λοιπὰς ἀρετάς.

---

1) Psalm. CXXXII, 1. (CXXXI.)

2) Ruaeus: Schedae Grabii.

3) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXXXII, 1. (CXXXI.)

4) Psalm. CXXXII, 5. (CXXXI.)

5) Ruaeus: Schedae Grabii.

6) Psalm. CXXXII, 6. (CXXXI.)

7) Ruaeus: Schedae Grabii.

8) Psalm. CXXXII, 9. (CXXXI.)

9) Ruaeus: Schedae Grabii.

Ψαλμὸς ἑκατοστὸς τριακοστὸς δεύτερος.

„Ὡς[1]) μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τὸν Ἀαρών," κ. τ. ε. Μύρον[2]) ἐστὶ τὸ πνεῦμα τὸ ἅγιον, κεφαλὴ δὲ ὁ νοῦς, πώγων δὲ ὁ λόγος· ἐμπεριέχει δὲ τὴν καρδίαν ὁ λόγος. Πώγων δὲ τοῦ Ἀαρὼν ὁ λόγος ὁ καταφράττων τὰ πάθη, καὶ ἱερουργῶν τῷ θεῷ τὰς ἀρετάς. Καταβαίνει δὲ ἡ τοῦ πνεύματος χάρις καὶ ἐπὶ τὴν ᾤαν[3]) τοῦ ἐνδύματος αὐτοῦ, τουτέστι, διαδίδοται διὰ τῆς πρακτικῆς ἀρετῆς καὶ ἐπὶ τῆς ἠθικῆς φιλοσοφίας. Ἡ γὰρ ᾤα τοῦ ἐνδύματος αὐτοῦ ἐστι τὸ πέρας.

„Ὡς[4]) δρόσος Ἀερμὼν ἡ καταβαίνουσα ἐπὶ τὰ ὄρη Σιών," κ. τ. ε. Ἐν[5]) τῷ Δευτερονομίῳ Μωϋσῆς μὲν τὸ ὄρος τοῦτο ὀνομάζει Ἀερμών· οἱ Φοίνικες δὲ καλοῦσιν αὐτὸ Σανιὼρ, οἱ δὲ Ἀμοῤῥαῖοι Σανείρ. Ἔστι δὲ πέραν τοῦ Ἰορδάνου. Λόγος δὲ, τοὺς ἀποστατήσαντας τῶν ἀγγέλων ἐπὶ τοῦτο τὸ ὄρος ἐσκέφθαι περὶ τῆς ἀποστασίας αὐτῶν, καὶ συνθήκας πεποιηκέναι.

„Τοῦ αὐτοῦ." Ὄρη[6]) Σιὼν οἱ τὰ ὑψηλὰ σκοπεύοντες ἅγιοι, ἐφ' οὓς καταβαίνει ἡ δρόσος. Ἀερμὼν δὲ ἑρμηνεύεται ἀποστροφὴ θηρίων. Φασὶ δὲ καὶ τὸν Ἰορδάνην ποτὲ ἐκεῖ γεννᾶσθαι. Σημαίνει δὲ καὶ τοῦτο τὴν τοῦ ἁγίου βαπτίσματος χάριν· αὕτη γὰρ ἀεὶ καταβαίνει ἐπὶ τοὺς ἁγίους, καὶ δι' αὐτῆς γίνεται ἡ ἀποστροφὴ τῶν νοητῶν θηρίων.

---

[1]) Psalm. CXXXIII, 2. (CXXXII.)

[2]) Ruaeus: Catena Corderii. — Ed. R. constanter: μῦρον.

[3]) Ed. Ruaei: ὦαν et ὦα.

[4]) Psalm. CXXXIII, 3. (CXXXII.)

[5]) Ruaeus: Schedae Grabii.

[6]) Ruaeus: Catena Corderii. — Cfr. Psalm. CXXXIII, 3. (CXXXII.)

Ψαλμὸς ἑκατοστὸς τριακοστὸς τρίτος.

„Ἰδοὺ[1]) δὴ εὐλογεῖτε τὸν κύριον πάντες οἱ δοῦλοι κυρίου, οἱ ἑστῶτες ἐν οἴκῳ κυρίου, ἐν αὐλαῖς οἴκου θεοῦ ἡμῶν," κ. τ. ε. „Οἱ[2]) ἑστῶτες, φησὶν, ἐν οἴκῳ κυρίου," καὶ μὴ ὡς εἰς τῶν ἀρχόντων πίπτοντες, ἀλλὰ καὶ βλέποντες, μὴ πέσητε, εὐλογεῖτε „τὸν κύριον."

„Τοῦ αὐτοῦ." Οἱ[3]) μὲν θεωρητικοὶ ἐν οἴκῳ θεοῦ εἰσιν, οἱ δὲ πρακτικοὶ ἐν αὐλαῖς οἴκου θεοῦ ἡμῶν.

„Ἐν[4]) ταῖς νυξὶν ἐπάρατε τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖτε τὸν κύριον," κ. τ. ε. Ἀντὶ[5]) τοῦ· „εἰς τὰ ἅγια·" ἕτερος· „ἁγίως·" ἕτερος· „ἡγιασμένως." Διὰ δὲ τοῦ· „ἐν οἴκῳ κυρίου·" ἔδειξεν, ὡς πανταχοῦ μὲν αἴρειν ὁσίους χεῖράς τις οὐκ ἐκώλυται· οὐχ ἥκιστα δὲ ἐν τοῖς ἀφιερωμένοις τοῦτο προσήκει χωρίοις ποιεῖν.

Ψαλμὸς ἑκατοστὸς τριακοστὸς τέταρτος.

„Αἰνεῖτε[6]) τὸ ὄνομα κυρίου, αἰνεῖτε δοῦλοι κύριον· οἱ ἑστῶτες ἐν οἴκῳ κυρίου, ἐν αὐλαῖς οἴκου θεοῦ ἡμῶν," κ. τ. ε. Αἰνεῖτε[7]) οὐκ ἄλλοι ἢ ἑστῶτες, καὶ οὐκ ἀλλαχοῦ ἢ ἐν οἴκῳ κυρίου, ἐν αὐλαῖς οἴκου θεοῦ ἡμῶν. Σημειώση δὲ, ὅτι οἶκος μὲν κυρίου λέγεται, αὐλαὶ δὲ τοῦ θεοῦ ἡμῶν· καὶ ἀνωτέρω μὲν εἰρῆσθαι· „εὐλογεῖτε·"[8]) νῦν

---

1) Psalm. CXXXIV, 1. (CXXXIII.)

2) Ruaeus: Catena Corderii. — Cfr. Psalm. CXXXIV, 1. (CXXXIII.)

3) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXXXIV, 1. (CXXXIII.)

4) Psalm. CXXXIV, 2. (CXXXIII.)

5) Ruaeus: Catena Corderii.

6) Psalm. CXXXV, 1. 2. (CXXXIV.)

7) Ruaeus: Catena Corderii.

8) Cfr. Psalm. CXXXIV, 1. 2. (CXXXIII.)

δέ· „αἰνεῖτε·“[1]) κἀκεῖ μὲν μόνον τό· „οἱ[2]) ἑστῶτες ἐν οἴκῳ κυρίου·“ ὡς ἐν τῷ ἑβραϊκῷ· νῦν δὲ μετὰ τοῦ· „ἐν[3]) αὐλαῖς οἴκου θεοῦ ἡμῶν.“

„Ὅτι[4]) ἐγὼ ἔγνωκα, ὅτι μέγας ὁ κύριος, καὶ ὁ κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς,“ κ. τ. ε. Ὁ[5]) μὲν Ἰοθώρ φησι· „νῦν[6]) ἔγνων, ὅτι μέγας κύριος παρὰ πάντας τοὺς θεούς·“ ὁ δὲ προφήτης· „ὅτι[7]) ἐγὼ ἔγνων“ πρῶτον, ὅτι „μέγας ὁ κύριος·“ εἶτα· „καὶ ὁ κύριος ἡμῶν παρὰ πάντας τοὺς θεούς.“

„Πάντα[8]) ὅσα ἠθέλησεν ὁ κύριος, ἐποίησεν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις, καὶ ἐν πάσαις ταῖς ἀβύσσοις,“ κ. τ. ε. Ὅσα[9]) ἐποίησεν ὁ κύριος ἐν τῷ οὐρανῷ, καὶ ἐν τῇ γῇ, ἐν ταῖς θαλάσσαις, καὶ ἐν ταῖς ἀβύσσοις, καλά ἐστιν, ἅτε θελήματι γενόμενα θεοῦ. Εἰ δέ τίς ἐστιν ἐν οὐρανῷ, ὡς τὰ πνευματικὰ τῆς πονηρίας, ἢ ἐν τῇ γῇ ὡς οἱ ἁμαρτωλοὶ ἄνθρωποι, ἢ ἐν ταῖς θαλάσσαις ὡς ἡ τοῦ δράκοντος κακία, ἢ ἐν ταῖς ἀβύσσοις ὡς ἡ πονηρία τῶν προστασσομένων ἐκεῖ ἀπελθεῖν, κακὸν τοῦτο οὐχ ὁ θεὸς ἐποίησε τῷ θελήματι αὐτοῦ· „ἐκ[10]) γὰρ στόματος ὑψίστου οὐκ ἐξελεύσεται τὰ κακὰ καὶ τὸ ἀγαθόν.“

„Τοῦ αὐτοῦ.“ Ὥσπερ[11]) ὁ οὐρανὸς ἁγίων δυνάμεών ἐστιν οἰκητήριον, οὕτω καὶ ἡ γῆ τῶν ἀνθρώπων.

---

[1]) Cfr. Psalm. CXXXV, 1. 2. (CXXXIV.)
[2]) Cfr. Psalm. CXXXIV, 1. (CXXXIII.)
[3]) Psalm. CXXXV, 2. (CXXXIV.)
[4]) Psalm. CXXXV, 5. (CXXXIV.)
[5]) Ruaeus: Catena Corderii.
[6]) Exod. XVIII, 11.
[7]) Cfr. Psalm. CXXXV, 5. (CXXXIV.)
[8]) Psalm. CXXXV, 6. (CXXXIV.)
[9]) Ruaeus: Catena Corderii.
[10]) Thren. III, 38.
[11]) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXXXV, 6. (CXXXIV.)

„Ὁ[1]) οὐρανὸς γάρ, φησὶ, τοῦ οὐρανοῦ τῷ κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς υἱοῖς τῶν ἀνθρώπων." Καὶ ὥσπερ ἐν ταῖς τροπικῶς λεγομέναις θαλάσσαις οἰκοῦσιν οἱ ἀντικείμενοι ἡμῖν δαίμονες, ἐν αἷς καὶ ὁ δράκων ἐπλάσθη τοῦ ἐμπαίζειν αὐτῷ· οὕτω καὶ ἐν ταῖς ἀλληγορικῶς λεγομέναις ἀβύσσοις οἱ καταχθόνιοι δαίμονες.

„Ἀνάγων[2]) νεφέλας ἐξ ἐσχάτου τῆς γῆς· ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν," κ. τ. ε. Νεφέλη[3]) ἐστὶ φύσις λογικὴ, τοὺς περὶ προνοίας λόγους πεπιστευμένη· ἀστραπὴ δέ ἐστι διδασκαλία πνευματικὴ, λογικὰς ψυχὰς ἀπὸ κακίας ἐπ' ἀρετὴν ἐπανάγουσα.

„Καὶ[4]) ἔδωκε τὴν γῆν αὐτῶν κληρονομίαν," κ. τ. ε. Εἰ[5]) ἡ κληρονομία ἡμῶν γνῶσίς ἐστιν ἡ τοῦ θεοῦ, πῶς λέγονται κατέχειν ταύτην οἱ ἀντικείμενοι; Καὶ ζητήσεις, μήποτε λέγονται κατέχειν, οὐχ ὡς γινώσκοντες, ἀλλ' ὡς κωλύοντες ἡμᾶς ἐλθεῖν πρὸς αὐτήν.

„Εὐλογητὸς[6]) κύριος ἐκ Σιὼν ὁ κατοικῶν Ἱερουσαλήμ," κ. τ. ε. Ὁ[7]) ἐν καθαρᾷ καρδίᾳ κατοικῶν, κατοικεῖ ἐν Ἱερουσαλήμ. Κατοικεῖν δὲ αὐτὸν ἐν Ἱερουσαλὴμ ἔφη, οὐ τὴν θείαν φύσιν ἐκεῖ περιγράφων, ἀλλ' ἐκεῖ τηνικαῦτα τὴν θείαν ἐπιφάνειαν εἰδὼς ἐν τῷ ναῷ τῆς Ἱερουσαλήμ.

---

1) Psalm. CXV, 16. (CXIII.)
2) Psalm. CXXXV, 7. (CXXXIV.)
3) Ruaeus: Schedae Grabii.
4) Psalm. CXXXV, 12. (CXXXIV.)
5) Ruaeus: Schedae Grabii.
6) Psalm. CXXXV, 21. (CXXXIV.)
7) Ruaeus: Schedae Grabii.

Ψαλμὸς ἑκατοστὸς τριακοστὸς πέμπτος.

„Ἐξομολογεῖσθε[1]) τῷ κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,“ κ. τ. ε. Οἱ[2]) ταλαιπωροῦντες ἐν τῷ αἰῶνι, εἰκότως χρήζουσι καὶ ἐλέους ἐν τῷ αἰῶνι.

„Ἐξομολογεῖσθε[3]) τῷ θεῷ τῶν θεῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ,“ κ. τ. ε. Ἡ[4]) ἐξομολόγησις τὴν εὐχαριστίαν καὶ δοξολογίαν σημαίνει. Κεῖται δὲ καὶ ἐπὶ τῆς ἐξομολογήσεως τῶν ἁμαρτιῶν, ὡς ἐνταῦθα.

„Τοῦ αὐτοῦ.“ Θεὸς[5]) θεῶν ἐστιν ἐκείνων τῶν, πρὸς οὓς ὁ λόγος τοῦ θεοῦ ἐγένετο, κατὰ τὴν γραφὴν τὴν λέγουσαν· „ἐγὼ[6]) εἶπα· θεοί ἐστε·“ καί· „ἐγὼ[7]) θεὸς Ἀβραὰμ, καὶ θεὸς Ἰσαὰκ, καὶ θεὸς Ἰακώβ·“ δηλαδὴ κατὰ τὴν πολλὴν πρὸς αὐτοὺς ἀγάπην καὶ οἰκείωσιν. Τῶν δὲ δαιμόνων θεός ἐστι κατὰ τὴν δημιουργίαν. Φησὶ δὲ καὶ ὁ ἀπόστολος· εἴπερ[8]) εἰσὶ θεοὶ πολλοὶ, καὶ κύριοι πολλοὶ, ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· ἀλλὰ τοὺς λεγομένους μετὰ τὴν τριάδα θεοὺς μετουσίᾳ θεότητος εἶναι τοιούτους· ὁ δὲ σωτὴρ οὐ κατὰ μετουσίαν, ἀλλὰ κατ' οὐσίαν ἐστὶ θεός. Τὸ δέ· „ὅτι[9]) εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ·“ ἐφυμνίας τρόπῳ ἐπιλέγεται. Ἐπεὶ γὰρ ἀεὶ ἐλεεῖ, εἰκότως οἱ ἐφυμνοῦντες λέγουσιν· „ὅτι εἰς τὸν αἰῶνα,“ καὶ τὰ ἑξῆς.

---

1) Psalm. CXXXVI, 1. (CXXXV.)

2) Ruaeus: Schedae Grabii.

3) Psalm. CXXXVI, 2. (CXXXV.)

4) Ruaeus: Schedae Grabii.

5) Ruaeus: Catena Corderii. — Cfr. Psalm. CXXXVI, 2. (CXXXV.)

6) Psalm. LXXXII, 6. (LXXXI.)

7) Cfr. Exod. III, 6.

8) Cfr. I Cor. VIII, 5.

9) Psalm. CXXXVI, 2. (CXXXV.)

„Τῷ[1]) ποιήσαντι θαυμάσια μεγάλα μόνῳ,“ κ. τ. ε. Δείκνυσιν[2]) αὐτὸν διηνεκῶς εὐεργετοῦντα καὶ θαυματοποιοῦντα. Καὶ δύο ταῦτα αὐτοῦ τίθησι καὶ τρία καὶ τέσσαρα· ὅτι τε ποιεῖ, καὶ ὅτι θαύματα, καὶ ὅτι μεγάλα θαύματα, καὶ ὅτι μόνος ποιεῖ. Ταῦτα δὲ οὐ πρὸς ἀθέτησιν τοῦ παιδὸς, ἀλλὰ πρὸς ἀντιδιαστολὴν εἴρηται τῶν δαιμόνων. Καὶ τίνα ταῦτά ἐστι τὰ θαύματα, ἃ μόνος ποιεῖ; Καί τοί γε ἀρχόμενος τοῦ ψαλμοῦ, οὐ περὶ δυνάμεως ἔλεγεν, ἀλλὰ περὶ ἀγαθότητος. Πῶς οὖν νῦν εἰς τὸν περὶ δυνάμεως ἐμπίπτει λόγον ἐνταῦθα λοιπόν; Ὅτι οὐχὶ δυνάμεως μόνον, ἀλλὰ καὶ ἀγαθότητος καὶ φιλανθρωπίας ταῦτά ἐστι τὰ θαύματα.

„Τῷ[3]) στερεώσαντι τὴν γῆν ἐπὶ τῶν ὑδάτων,“ κ. τ. ε. Εἰ[4]) τοῦ ὕδατός ἐστι βάσις ἡ γῆ, πῶς ἡ γῆ ἐπὶ τῶν ὑδάτων ἐστερέωται; Πῶς δὲ καὶ ὁ Ἰὼβ ἀληθεύει λέγων· „ὁ[5]) κρεμάσας τὴν γῆν ἐπ᾽ οὐδενός;“ Καὶ μήποτε ἡ μὲν ὑποκάτω γῆ τῆς ἀβύσσου κρέμαται ἐπ᾽ οὐδενὸς, ἡ δὲ ἐπάνω γῆ τῆς ἀβύσσου, ἐφ᾽ ἧς καὶ ἡμεῖς κατοικοῦμεν, ἐπὶ τῆς ἀβύσσου ἐστερεώθη· ὡς εἶναι τὴν ἄβυσσον ἐν μέσῳ τῆς γῆς περιεχομένην ὡς ἐν ἀγγείῳ. Καὶ ταῦτα μὲν, εἴ τις βούλοιτο τῇ ἱστορίᾳ συναγωνίζεσθαι· πρὸς δὲ διάνοιαν, δοξολογήσατε, φησὶ, τὸν στερεώσαντα τὴν φύσιν τὴν λογικὴν ἐπὶ τῆς ἀληθοῦς γνώσεως. Ὅτι δὲ ἐν τοῖς εὐαγγελίοις ὁ κύριος γῆν λέγει τὰς λογικὰς ψυχὰς, καὶ ὕδωρ τὴν γνῶσιν, ἐκ τοῦ σπόρου τοῦ πεσόντος εἰς τὴν γῆν τὴν καλήν ἐστι καταμαθεῖν, καὶ ἐκ τοῦ ῥέοντος ποταμοῦ τῆς κοιλίας τοῦ πεπιστευκότος ὕδατος ζῶντος. Καὶ τὰ ἑξῆς δὲ τοῦ ψαλμοῦ ἀκολουθεῖ τῇ δευτέρᾳ ἐξηγήσει. Ἡ σελήνη

---

[1]) Psalm. CXXXVI, 4. (CXXXV.)
[2]) Ruaeus: Catena Corderii.
[3]) Psalm. CXXXVI, 6. (CXXXV.)
[4]) Ruaeus: Schedae Grabii.
[5]) Cfr. Job. XXVI, 7.

καὶ ἀστέρες φωτίζουσι ταύτην τὴν γῆν, ἐν ἀγνοίᾳ τέως διάγουσαν, καὶ μήπω δυναμένην φωτισθῆναι ὑπὸ τοῦ τῆς δικαιοσύνης ἡλίου· καὶ πάλιν Αἴγυπτος καταλαμβάνεται σύμβολον οὖσα κακίας τῶν κατὰ διάνοιαν πρωτοτόκων φθαρέντων, καὶ κολάζεται Φαραὼ τοῖς πνευματικοῖς ἐναποπνιγόμενος ὕδασι, καὶ ὁ Ἰσραὴλ ὁδεύει τὴν ἔρημον πεινῶν καὶ διψῶν, καὶ πειραζόμενος, ἥτις ἐστὶ σύμβολον τῆς πρακτικῆς, σπεύδων ἐπὶ τὴν γῆν τῆς ἐπαγγελίας, ἥν φασιν εἶναι τὴν γνῶσιν τοῦ θεοῦ.

„Καὶ [1]) ἐκτινάξαντι Φαραὼ, καὶ τὴν δύναμιν αὐτοῦ, εἰς θάλασσαν ἐρυθράν,“ κ. τ. ε. Τὴν [2]) εὐκολίαν τοῦ καταποντισμοῦ βουλόμενος δηλῶσαι, τῇ λέξει ταύτῃ ἐχρήσατο. Κοινωνεῖ δὲ καὶ τὸ στρατόπεδον τῆς τιμωρίας, καὶ κολάζεται· ἐπειδὴ τῶν ἁμαρτημάτων τῶν περὶ τοὺς Ἰουδαίους ἐκοινώνησαν, καὶ τῆς διώξεως μετέσχον.

„Ὅτι [3]) ἐν τῇ ταπεινώσει ἡμῶν ἐμνήσθη ἡμῶν,“ κ. τ. ε. Ὅταν [4]) μὲν ὡς ἀκαθάρτων ἡμῶν μνημονεύει ἡμῶν ὁ κύριος, κατὰ τὴν ἐπίνοιαν τῆς δικαιοσύνης ἡμῶν μνημονεύει· ὅταν δὲ πάλιν ὡς καθαρῶν, κατὰ τὴν ἐπίνοιαν τῆς σοφίας· πλὴν τοῦτο ἰστέον, ὅτι περ αὗται αἱ ἐπίνοιαι κατὰ τῆς τῶν γεγονότων θεωρίας κατηγοροῦνται, ἥτις ὡς δημιουργὸν παρίστησι τὸν Χριστόν.

„Ὁ [5]) διδοὺς τροφὴν πάσῃ σαρκί,“ κ. τ. ε. Ἡ [6]) τρεφομένη σὰρξ παρὰ τοῦ θεοῦ, αὕτη ὄψεται τὸ σωτήριον τοῦ θεοῦ.

---

[1]) Psalm. CXXXVI, 15. (CXXXV.)
[2]) Ruaeus: Catena Corderii.
[3]) Psalm. CXXXVI, 23. (CXXXV.)
[4]) Ruaeus: Schedae Grabii.
[5]) Psalm. CXXXVI, 25. (CXXXV.)
[6]) Ruaeus: Schedae Grabii.

Ψαλμὸς ἑκατοστὸς τριακοστὸς ἕκτος.

„Ἐπὶ[1]) τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκαθίσαμεν, καὶ ἐκλαύσαμεν ἐν τῷ μνησθῆναι ἡμᾶς τῆς Σιών,“ κ. τ. ε. Πολὺς[2]) ὁ πόθος τοῖς ἀνδράσι τῆς πόλεως. Τίνος δὲ ἕνεκα παρὰ τοὺς ποταμοὺς ἐκάθηντο; Ὅτι αἰχμάλωτοι ὄντες, καὶ ἐκ πολεμίας εἰλημμένοι χώρας, ἔξω τειχῶν καὶ πόλεων ηὐλίζοντο.

„Ἐπὶ[3]) ταῖς ἰτέαις ἐν μέσῳ αὐτῆς ἐκρεμάσαμεν τὰ ὄργανα ἡμῶν,“ κ. τ. ε. Ὅσαι[4]) ψυχαὶ κάθηνται ἐν σκιᾷ καὶ ἀγνωσίᾳ, ἰστέον, ὅτι λόγον ἄκαρπον ἔχουσι, τὰ ὄργανα κρεμάσασαι τὰ συντελοῦντα εἰς τὴν πρακτικήν.

„Ὅτι[5]) ἐκεῖ ἐπηρώτησαν ἡμᾶς οἱ αἰχμαλωτεύσαντες ἡμᾶς, λόγους ᾠδῶν, καὶ οἱ ἀπαγαγόντες ἡμᾶς· ὕμνον ᾄσατε ἡμῖν ἐκ τῶν ᾠδῶν Σιών,“ κ. τ. ε. Ἔγνων[6]) ἐγὼ καὶ δαίμονας ἀναγκάζειν λέγειν ψαλμοὺς καὶ ᾠδὰς πνευματικάς, ἐν αἷς ἐστί τις ἐντολή, ἣν παρέβημεν, ὣς ἂν ἀκούοντες καταγελῶσιν ἡμῶν ὡς λεγόντων καὶ μὴ ποιούντων.

„Μνήσθητι,[7]) κύριε, τῶν υἱῶν Ἐδὼμ τὴν ἡμέραν Ἱερουσαλήμ, τῶν λεγόντων· ἐκκενοῦτε, ἐκκενοῦτε, ἕως τῶν θεμελίων αὐτῆς,“ κ. τ. ε. Τό[8]) „ἐκκενοῦτε,[9]) ἐκκενοῦτε, ἕως οὗ ὁ θεμέλιος ἐν αὐτῇ·“ ὡς παρὰ τῶν ἐχθρῶν λεγόμενον τέθειται· δηλοῖ δὲ τοὺς παλαίοντας ἡμῖν πειρωμένους τῶν φυσικῶν τῆς ἀρετῆς ἅπτεσθαι σπερμάτων·

---

1) Psalm. CXXXVII, 1. (CXXXVI.)
2) Ruaeus: Catena Corderii.
3) Psalm. CXXXVII, 2. (CXXXVI.)
4) Ruaeus: Schedae Grabii.
5) Psalm. CXXXVII, 3. (CXXXVI.)
6) Ruaeus: Schedae Grabii.
7) Psalm. CXXXVII, 7. (CXXXVI.)
8) Ruaeus: Schedae Grabii.
9) Cfr. Psalm. CXXXVII, 7. (CXXXVI.)

ἅπερ τροπικῶς ὠνόμασε θεμέλιον, ἀπ' ἀρχῆς καταβεβλημένον ἐν αὐτῇ τῇ ψυχῇ, δηλονότι ἵνα παντάπασιν ὁ νοῦς, ἐκπεσὼν ἀρετῆς, κατὰ τὴν παροιμίαν περιπατήσῃ γυμνώτερος ὑπέρου, μὴ ἐνδυσάμενος τὸν Χριστὸν, μηδὲ ἔχων ἔνδυμα γάμου.

„Μακάριος,[1]*) ὃς κρατήσει καὶ ἐδαφιεῖ τὰ νήπιά σου πρὸς τὴν πέτραν,“ κ. τ. ε. Ὅσοι*[2]*) κατὰ τὴν διδασκαλίαν τοῦ Χριστοῦ τὰ φαῦλα νοήματα διαφθείρουσι τῆς ψυχῆς, οὗτοι τὰ νήπια Βαβυλῶνος ἐδαφίζουσι πρὸς τὴν πέτραν.*

Ψαλμὸς ἑκατοστὸς τριακοστὸς ὄγδοος.

„Κύριε,[3]*) ἐδοκίμασάς με, καὶ ἔγνως με,“ κ. τ. ε. Καὶ*[4]*) ἐν τοῖς ἑξῆς δὲ, ὡς ἀναφαινομένης τῆς καρδίας ἐν τοῖς πειρασμοῖς, εἴρηται· „δοκίμασόν*[5]*) με ὁ θεὸς, καὶ γνῶθι τὴν καρδίαν μου.“ Ἡ δὲ πέμπτη ἔκδοσις νῦν μέν· „ἐξηρεύνησας·“ εἶπεν· ἐν δὲ τοῖς ἑξῆς· „ἐξερεύνησον.“ Ὡς γὰρ χρυσὸς ἐν χωνευτηρίῳ δοκιμάζεται, οὕτως ἄνθρωποι δεκτοὶ ἐν καμίνῳ ταπεινώσεως. Γέγραπται δὲ ἐν ψαλμῷ· „ἐδοκίμασας*[6]*) ἡμᾶς, ὡς πυροῦται τὸ ἀργύριον.“ Νοήσας τοῦτο, γνώσῃ, ὅτι μόνος ὁ δίκαιος καὶ πᾶς δοκιμασθεὶς γινώσκεται, ὡς ὢν ἐν Χριστῷ ἀπὸ θεοῦ· ὡς δῆλον καὶ ἐκ τοῦ· „δοκίμασόν*[7]*) με, κύριε, καὶ γνῶθι τὴν καρδίαν μου.“*

---

[1]) Psalm. CXXXVII, 9. (CXXXVI.)
[2]) Ruaeus: Schedae Grabii.
[3]) Psalm. CXXXIX, 1. (CXXXVIII.)
[4]) Ruaeus: Catena Corderii.
[5]) Psalm. CXXXIX, 23. (CXXXVIII.)
[6]) Cfr. Psalm. LXVI, 10. (LXV.)
[7]) Psalm. CXXXIX, 23. (CXXXVIII.)

„Τοῦ αὐτοῦ." Πάντα[1]) προειδὼς ὁ θεὸς, ὅμως δοκιμάζει, οὐχ ἵνα γνῷ, ἀλλ' ἵνα τοὺς ὑπομένοντας δοκιμωτέρους ἐργάζηται. Ἵνα δὲ μή τις αὐτὸν ὑπολάβοι δοκιμάζοντα γινώσκειν, ἐπήγαγε τῷ λόγῳ· „σὺ[2]) συνῆκας τοὺς διαλογισμούς μου ἀπὸ μακρόθεν." Ὁ γὰρ τοὺς διαλογισμοὺς εἰδὼς καὶ πρὸ τοῦ κινηθῆναι αὐτοὺς, μᾶλλον δὲ πρὸ πολλοῦ χρόνου, πῶς ἂν δεηθείη δοκιμασίας πρὸς ἰδίαν γνῶσιν;

„Τὴν[3]) τρίβον μου καὶ τὴν σχοῖνόν μου ἐξιχνίασας," κ. τ. ε. Τῶν[4]) καλῇ τρίβῳ χρωμένων ἐξιχνιάζει ὁ θεὸς τὴν σχοῖνον, καὶ πάντα τὰ μέτρα τῆς ὁδοῦ τῶν τοιούτων προεῖδεν ὁ θεός.

„Ὅτι[5]) οὐκ ἔστι δόλος ἐν γλώσσῃ μου," κ. τ. ε. „Οὐκ[6]) ἔστι, φησὶ, δόλος ἐν γλώσσῃ μου·" ἀντὶ τοῦ· οὐκ ἔστιν ἐπιπόλαιός μοι λόγος, ἀλλ' ἐν βάθει καὶ καρδίᾳ. Ἐν στόματι δὲ μωρῶν ἡ καρδία αὐτῶν.

„Τοῦ αὐτοῦ." Γλῶσσαν[7]) τροπικῶς τὴν καρδίαν ὠνόμασεν.

„Ἰδοὺ,[8]) κύριε, σὺ ἔγνως πάντα, τὰ ἔσχατα καὶ τὰ ἀρχαῖα," κ. τ. ε. Ἐπίσκεψαι,[9]) διὰ τί τὰ μέσα παρασεσιώπηται. Διὰ τὸ τὴν κακίαν εἶναι ἐν τῷ μεταξὺ, οὔτε ἐν τῇ ἀρχῇ, οὔτε ἐν τῷ τέλει ὑπάρχουσαν.

„Ἐθαυμαστώθη[10]) ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκρα-

---

[1]) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXXXIX, 1. (CXXXVIII.)

[2]) Psalm. CXXXIX, 2. (CXXXVIII.)

[3]) Psalm. CXXXIX, 3. (CXXXVIII.)

[4]) Ruaeus: Catena Corderii.

[5]) Psalm. CXXXIX, 4. (CXXXVIII.)

[6]) Ruaeus: Catena Corderii.

[7]) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXXXIX, 4. (CXXXVIII.)

[8]) Psalm. CXXXIX, 4. 5. (CXXXVIII.)

[9]) Ruaeus: Catena Corderii.

[10]) Psalm. CXXXIX, 6. (CXXXVIII.)

ταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν,“ κ. τ. ε. Φωνὴ [1]) πολλοὺς ὠφελήσαντος διδασκάλου σοφοῦ, τὰ θαυμάσια τῆς γνώσεως μυστήρια οἰκονομήσαντος.

„Ἐὰν [2]) ἀναβῶ εἰς τὸν οὐρανὸν, σὺ ἐκεῖ εἶ· ἐὰν καταβῶ εἰς τὸν ᾅδην, πάρει,“ κ. τ. ε. Ὡς [3]) δυνάμενος πορεύεσθαι καὶ φυγεῖν εἰς οὐρανὸν καὶ εἰς ᾅδην, καὶ ἵπτασθαι εἰς τὰ ἔσχατα τῆς θαλάσσης, ταῦτά φησιν· εἰκὸς δὲ καθ᾽ ἑαυτὴν γενομένην δύνασθαι τὴν ψυχήν. Συνεξετάσεις δὲ τούτοις τὰ ἐκ τοῦ Δευτερονομίου οὕτως ἔχοντα· „ἡ [4]) ἐντολὴ αὕτη οὐχ ὑπέρογκός ἐστιν, οὐδὲ μακρὰν ἀπὸ σοῦ ἐστιν. Οὐκ ἐν τῷ οὐρανῷ ἄνω ἐστὶ, λέγων· τίς ἀναβήσεται ἡμῖν εἰς τὸν οὐρανὸν, καὶ λήψεται αὐτήν; Οὐδὲ πέραν τῆς θαλάσσης ἐστὶ, λέγων· τίς διαπεράσει ἡμῖν εἰς τὸ πέραν τῆς θαλάσσης, καὶ λάβῃ αὐτὴν ἡμῖν, καὶ ἀκούσαντες αὐτὴν ποιήσομεν αὐτήν; Ἔστιν ἐγγύς σου τὸ ῥῆμα σφόδρα, ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου, καὶ ἐν ταῖς χερσί σου ποιεῖν αὐτό.“ Συγκρινεῖς δὲ καὶ ἀπὸ Ἀμὼς ταῦτα· „οὐ [5]) μὴ διαφύγῃ ἐξ αὐτῶν φεύγων· καὶ οὐ μὴ διασωθῇ ἐξ αὐτῶν ἀνασωζόμενος. Ἐὰν κατορυγῶσιν εἰς ᾅδου, ἐκεῖθεν ἡ χείρ μου ἀνασπάσει αὐτούς· καὶ ἐὰν ἀναβῶσιν εἰς τὸν οὐρανὸν, ἐκεῖθεν κατάξω αὐτούς. Ἐὰν κρυβῶσιν εἰς τὴν κορυφὴν τοῦ Καρμήλου, ἐκεῖθεν ἐξερευνήσω, καὶ λήψομαι αὐτούς· καὶ ἐὰν καταδύσωσιν ἐξ ὀφθαλμῶν μου εἰς τὰ βάθη τῆς θαλάσσης, ἐκεῖ ἐντελοῦμαι τῷ δράκοντι, καὶ δήξεται αὐτούς· καὶ ἐὰν πορευθῶσιν ἐν αἰχμαλωσίᾳ πρὸ προσώπου τῶν ἐχθρῶν αὐτῶν, ἐκεῖθεν ἐντελοῦμαι τῇ ῥομφαίᾳ, καὶ ἀποκτενεῖ αὐτούς.“

---

[1]) Ruaeus: Catena Corderii.

[2]) Psalm. CXXXIX, 8. (CXXXVIII.)

[3]) Ruaeus: Catena Corderii.

[4]) Cfr. Deut. XXX, 11—14.

[5]) Cfr. Amos. IX, 1—4.

„Καὶ[1]) εἶπα· ἄρα σκότος καταπατήσει με, καὶ νὺξ φωτισμὸς ἐν τῇ τρυφῇ μου," κ. τ. ε. Εἰ[2]) ἡ ἄγνοια καρδίας σκότος ἐστίν· — „ἐσκοτίσθη[3]) γάρ, φησίν, ἡ ἀσύνετος αὐτῶν καρδία·" — εἰκότως ἄρα ὁ αἴτιος ἡμῖν τοῦ σκότους τούτου γινόμενος, καὶ αὐτὸς ὀνομάζεται σκότος, ὅστις ἡμῶν τὴν ἐν γνώσει τρυφὴν προαιρεῖται σκοτίζειν, τοῦ θεοῦ μὴ συγχωροῦντος, ἀλλὰ τὸ σκότος φωτίζοντος· „τὸ[4]) γὰρ φῶς ἐν τῇ σκοτίᾳ φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν." Ὡς γὰρ τὴν ἄγνοιαν διὰ τῆς κακίας ἐπεκτησάμεθα, οὕτω καὶ τὴν γνῶσιν διὰ τῆς ἀρετῆς προσελάβομεν.

„Ὅτι[5]) σὺ ἐκτήσω τοὺς νεφρούς μου," κ. τ. ε. Μακάριος,[6]) οὗ οἱ νεφροὶ κτῆμα γεγόνασι τοῦ κυρίου.

„Οὐκ[7]) ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ, ὃ ἐποίησας ἐν κρυφῇ," κ. τ. ε. Ὀστοῦν[8]) τὴν ψυχὴν ὠνόμασε νῦν, ἣν ἐποίησε μόνος ὁ θεός.

„Τὸ[9]) ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου," κ. τ. ε. Ἀκατέργαστον[10]) ψυχὴ ἡ μὴ δι᾽ ἀρετῆς μορφωθεῖσα καὶ γνώσεως.

„Καὶ[11]) ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται," κ. τ. ε. Βιβλίον[12]) θεοῦ ἐστιν ἡ θεωρία σωμάτων καὶ ἀσωμάτων, ἐν ᾧ πέφυκε διὰ τῆς γνώσεως γράφεσθαι νοῦς καθαρός. Ἐν δὲ τούτῳ τῷ βιβλίῳ εἰσὶ γεγραμμένοι καὶ οἱ περὶ προνοίας λόγοι καὶ κρίσεως· δι᾽ οὗ

---

1) Psalm. CXXXIX, 11. (CXXXVIII.)
2) Ruaeus: Schedae Grabii.
3) Rom. I, 21. 4) Ev. Joann. I, 5.
5) Psalm. CXXXIX, 13. (CXXXVIII.)
6) Ruaeus: Catena Corderii.
7) Psalm. CXXXIX, 15. (CXXXVIII.)
8) Ruaeus: Schedae Grabii.
9) Psalm. CXXXIX, 16. (CXXXVIII.)
10) Ruaeus: Schedae Grabii.
11) Psalm. CXXXIX, 16. (CXXXVIII.)
12) Ruaeus: Schedae Grabii.

βιβλίου γινώσκεται ὁ Θεὸς ὡς δημιουργὸς καὶ σοφὸς καὶ προνοητὴς καὶ κριτής· καὶ δημιουργὸς μὲν, διὰ τὰ γεγονότα ἀπὸ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι· σοφὸς δὲ, διὰ τοὺς ἀποκειμένους λόγους αὐτῆς· προνοητὴς δὲ, διὰ τὰ συντελοῦντα πρὸς ἀρετὴν ἡμῖν καὶ γνῶσιν· κριτὴς δὲ πάλιν, διὰ τὰ διάφορα σώματα τῶν λογικῶν, καὶ τοὺς ποικίλους κόσμους, καὶ τοὺς περιέχοντας τοὺς αἰῶνας.

„Ἡμέραι¹) πλασθήσονται, καὶ οὐδεὶς ἐν αὐτοῖς," κ. τ. ε. Ἐν²) γνώσει πλασθήσονται, καὶ οὐδεὶς ἔσται γνώσεως ἐκτὸς, ὅπως γένηται ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν.

„Ἐξηγέρθην,³) καὶ ἔτι εἰμὶ μετὰ σοῦ," κ. τ. ε. „Ὁ⁴) καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός." Διὸ ἔγερσίς ἐστιν ἡ ἀπὸ κακίας ἐπ' ἀρετὴν ἐπάνοδος.

„Τέλειον⁵) μῖσος ἐμίσουν αὐτούς," κ. τ. ε. Εἰ⁶) ὁ τέλειος μισήσας τὸ πονηρὸν ἀπέχεται πάσης κακίας, ὁ μεταλαμβάνων τῆς οἱασδηποτοῦν κακίας αὐτῶν τελείως οὐ μεμίσηκε τὸ πονηρόν.

„Δοκίμασόν⁷) με, ὁ Θεὸς, καὶ γνῶθι τὴν καρδίαν μου," κ. τ. ε. Εἰ⁸) ὁ Θεὸς πῦρ καταναλίσκον ἐστὶ, διὰ τῆς ἐπινοίας δηλονότι τοῦ πυρὸς δοκιμάζει τὰς ψυχὰς τῶν ἀνθρώπων.

---

¹) Cfr. Psalm. CXXXIX, 16. (CXXXVIII.)
²) Ruaeus: Schedae Grabii.
³) Psalm. CXXXIX, 18. (CXXXVIII.)
⁴) Ruaeus: Schedae Grabii. — Cfr. Ephes. V, 14.
⁵) Psalm. CXXXIX, 22. (CXXXVIII.)
⁶) Ruaeus: Schedae Grabii.
⁷) Psalm. CXXXIX, 23. (CXXXVIII.)
⁸) Ruaeus: Schedae Grabii.

Ψαλμὸς ἑκατοστὸς τριακοστὸς ἔννατος.

„Οἵτινες[1]) ἐλογίσαντο ἀδικίαν ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους," κ. τ. ε. Διὰ[2]) τῶν λογισμῶν ἡμῖν οἱ δαίμονες παρατάσσονται, ποτὲ μὲν ἐπιθυμίας κινοῦντες, ποτὲ δὲ ὀργὰς, ἄλλοτε πάλιν ἐν ταὐτῷ θυμὸν καὶ ἐπιθυμίαν, δι' ὧν γίνεται ὁ λεγόμενος πεπλεγμένος λογισμός· ἀλλ' οὗτος ἐν καιρῷ τῆς ἀκηδίας συμβαίνει μόνον, οἱ δ' ἄλλοι ἐκ διαλείμματος ἐπέρχονται ἀλλήλους διαδεχόμενοι. Τὸν δὲ τῆς ἀκηδίας λογισμὸν κατ' ἐκείνην τὴν ἡμέραν οὐδεὶς διαδέχεται διαλογισμὸς· πρῶτον μὲν, ὅτι καὶ χρονίζει, ἔπειτα δὲ καὶ σχεδὸν πάντας τοὺς λογισμοὺς ἔχει ἐν ἑαυτῷ.

„Ἠκόνησαν[3]) τὴν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως," κ. τ. ε. Τὸν[4]) ὀξύτατον λογισμὸν, ἠκονημένον λέγει· Τοιοῦτος δὲ καὶ ὁ πρὸς βλασφημίαν τὸν νοῦν ὑφαρπάζων λογισμός.

„Οἵτινες[5]) διελογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου," κ. τ. ε. Ἀλλὰ[6]) καὶ τὰ φαῦλα νοήματα πολλάκις οἱ δαίμονες οὐ γυμνὰ ἀποτίθενται ἡμῖν, ἵνα μὴ ὁ νοῦς ἄντικρυς τὸ ἄλογον αὐτῶν θεασάμενος, τοὺς λογισμοὺς ἀποῤῥίψῃ· ἀλλὰ μετά τινων ἄλλων χρηστοφανῶν νοημάτων τὰ πονηρὰ νοήματα ἐπισπείρουσιν. Καὶ τοῦτο μόνον ἐπὶ τῶν τελείων ποιοῦσι, τῶν μὴ ἐχόντων πάθη· τοῖς γὰρ ἐμπαθέσι καὶ ἀκαθάρτοις, καὶ φανερῶς ἐμβάλλουσι τοὺς λογισμοὺς, οὓς ἀπώσασθαι ἀδυνατοῦσιν.

---

[1]) Psalm. CXL, 2. (CXXXIX.)
[2]) Ruaeus: Schedae Grabii.
[3]) Psalm. CXL, 3. (CXXXIX.)
[4]) Ruaeus: Schedae Grabii.
[5]) Cfr. Psalm. CXL, 4. (CXXXIX.)
[6]) Ruaeus: Schedae Grabii.

„Πεσοῦνται[1]) ἐπ' αὐτοὺς ἄνθρακες πυρός," κ. τ. ε. Τοῦτο[2]) τὸ πῦρ καὶ οἱ ἄνθρακες κατακαίουσι ξύλα, χόρτον, καλάμην, τὰς μοχθηρὰς ἕξεις καταναλίσκοντα.

„Ἔγνων,[3]) ὅτι ποιήσει κύριος τὴν κρίσιν τοῦ πτωχοῦ, καὶ τὴν δίκην τῶν πενήτων," κ. τ. ε. Προφητεία[4]) τοῦτο περὶ τῆς μελλούσης κρίσεως, καθ' ἣν τῶν ἀσεβῶν τῷ πυρὶ παραδιδομένων εἰς ἄνεσιν οἱ δίκαιοι παραληφθήσονται. Ἐντεῦθεν καὶ Σολομὼν ὠφεληθεὶς εἶπεν· „ὅτι[5]) πᾶν τὸ ποίημα ὁ θεὸς ἄξει εἰς κρίσιν." Εἰς χρηστὸν δὲ τέλος κατέληξεν, ἐπεὶ καὶ „εἰς τέλος" ἐπιγέγραπται, τὴν ἀποκειμένην τοῖς δικαίοις λέγων ἐλπίδα. „Κατοικήσουσιν[6]) εὐθεῖς σὺν τῷ προσώπῳ σου." Ἀντὶ δέ· „σὺν τῷ προσώπῳ σου·" ὁ Σύμμαχος· „παρὰ τῷ προσώπῳ σου·" λέγει, τὸ κεκαθαρμένῃ διανοίᾳ πρόσωπον πρὸς πρόσωπον ὁρᾷν τοῦ θεοῦ.

Ψαλμὸς ἑκατοστὸς τεσσαρακοστός.

„Κατευθυνθήτω[7]) ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου," κ. τ. ε. Τούτου[8]) κατευθύνεται ἡ προσευχὴ ὡς θυμίαμα, τοῦ δυναμένου εἰπεῖν· „Χριστοῦ[9]) εὐωδία ἐσμὲν ἐν τοῖς σωζομένοις καὶ ἐν τοῖς ἀπολλυμένοις."

---

1) Psalm. CXL, 10. (CXXXIX.)
2) Ruaeus: Schedae Grabii.
3) Psalm. CXL, 12. (CXXXIX.)
4) Ruaeus: Catena Corderii.
5) Ecclesiast. XII, 14.
6) Psalm. CXL, 13. (CXXXIX.)
7) Psalm. CXLI, 2. (CXL.)
8) Ruaeus: Schedae Grabii.
9) II Cor. II, 15.

„Θοῦ,[1]) κύριε, φυλακὴν τῷ στόματί μου," κ. τ. ε. Οὐδὲν[2]) οὕτω φυλάσσει τὴν καρδίαν ἡμῶν ὡς ὁ φόβος τοῦ θεοῦ, εἴγε τῷ φόβῳ κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ.

„Ἔλαιον[3]) δὲ ἁμαρτωλοῦ μὴ λιπανάτω τὴν κεφαλήν μου," κ. τ. ε. Ἔλαιον[4]) λέγει ἁμαρτωλοῦ τὴν εὐποιΐαν, τὴν μὴ διὰ γνῶσιν θεοῦ γενομένην, ἀλλὰ διὰ δόξαν τὴν παρὰ ἀνθρώπων. Τοῦτο γάρ ἐστι καὶ τὸ σαλπίζειν τὸν τὴν ἐλεημοσύνην ποιοῦντα.

„Πεσοῦνται[5]) ἐν ἀμφιβλήστρῳ αὐτοῦ ἁμαρτωλοί," κ. τ. ε. Ἀμφίβληστρόν[6]) ἐστι κόλασις ποικίλη ἐκ βυθοῦ κακίας ἀνιμωμένη. Ἀλλὰ τοῦτο τὸ ἀμφίβληστρον τοῦ μέλλοντός ἐστιν αἰῶνος· τοῦ δὲ ἐνεστῶτος αἰῶνός ἐστιν ἀμφίβληστρον διδασκαλία πνευματική, τοὺς ἀποπλανηθέντας ἀπὸ τῆς θεοσεβείας ἐπὶ τὴν ἀρετὴν ἀνάγουσα.

Ψαλμὸς ἑκατοστὸς τεσσαρακοστὸς πρῶτος.

„Φωνῇ[7]) μου πρὸς κύριον ἐκέκραξα, φωνῇ μου πρὸς κύριον ἐδεήθην," κ. τ. ε. Ὡς[8]) φύσιν ἔχει τὸ πῦρ ἀνώφορον, οὕτως ἡ τοῦ δικαίου φωνὴ, τὸ πρὸς κύριον γίνεσθαι, καὶ οἱονεὶ προκαλεῖσθαι αὐτὸν ἐπὶ τὸ παρέχειν ὧν τις δεῖται ἀπὸ θεοῦ.

„Ἐκχεῶ[9]) ἐναντίον αὐτοῦ τὴν δέησίν μου, τὴν θλίψιν μου ἐνώπιον αὐτοῦ ἀπαγγελῶ," κ. τ. ε. Ὁ[10])

---

[1]) Psalm. CXLI, 3. (CXL.)
[2]) Ruaeus: Schedae Grabii.
[3]) Psalm. CXLI, 5. (CXL.)
[4]) Ruaeus: Schedae Grabii.
[5]) Psalm. CXLI, 10. (CXL.)
[6]) Ruaeus: Schedae Grabii.
[7]) Psalm. CXLII, 1. (CXLI.)
[8]) Ruaeus: Catena Corderii.
[9]) Psalm. CXLII, 2. (CXLI.)
[0]) Ruaeus: Catena Corderii.

μόνα μεγάλα καὶ ἐπουράνια αἰτῶν, καὶ προσευχόμενος πνεύματι καινῷ, θαῤῥεῖ ἐνώπιον κυρίου ἐκχέαι τὴν δέησιν ἑαυτοῦ, οὐδὲν ταπεινὸν, οὐδὲ αἰσχρόν τι ἐν ἑαυτῇ ἔχουσαν· ὁποῖά ἐστιν ἐν ταῖς δεήσεσι τῶν βαττολογούντων, καὶ οὐκ ἄξια θεοῦ αἰτούντων. ἢ ἀπὸ καθαρᾶς καρδίας ἐκχεόντων. Ἁγίου οὖν παῤῥησίας ἔχεται ὁ στίχος, ὃν οὐκ εὐλόγως ἐρεῖ ὁ ἁμαρτωλός· καὶ τὸν ἑξῆς δὲ ὁ ἐν παντὶ θλιβόμενος, ἀλλ' οὐ στενοχωρούμενος, καυχώμενος ἐν ταῖς ὑπομονὴν κατεργαζομέναις θλίψεσι· τῷ ὁδεύειν τὴν στενὴν καὶ τεθλιμμένην ἀπάγουσαν ἐπὶ τὴν ζωὴν ὁδόν.

„Ἐν[1]) ὁδῷ ταύτῃ, ᾗ ἐπορευόμην, ἔκρυψαν παγίδα μοι," κ. τ. ε. Πάσαις[2]) οἱ ἐχθροὶ ἡμῶν ἐπιβουλεύουσι ταῖς ἀρεταῖς. Καὶ ἐν μὲν τῇ ἀνδρείᾳ κρύπτουσι τὴν τῆς δειλίας παγίδα, καὶ ἐν τῇ πραότητι ἐμβάλλουσι τὴν θρασύτητα, καὶ ἐν τῇ ἐλεημοσύνῃ τὸ μὴ διὰ τὸν θεὸν, ἀλλὰ διὰ τοὺς ὁρῶντας ἐλεεῖν· καὶ ἐν τῇ νηστείᾳ τὸ διὰ τοὺς ἀνθρώπους νηστεύειν. Καὶ ταῦτα μὲν ἐπὶ τῆς πρακτικῆς. Τί δ' ἄν τις εἴποι καὶ ἐπὶ τῆς θεωρίας, ὁπόσας παγίδας οἱ ἐχθροὶ διὰ τῶν αἱρέσεων τοῖς ὀρθοδόξοις δόγμασι;

„Ἀπώλετο[3]) φυγὴ ἀπ' ἐμοῦ, καὶ οὐκ ἔστιν ὁ ἐκζητῶν τὴν ψυχήν μου," κ. τ. ε. Ὁ[4]) ἀπολέσας τὴν φυγὴν ταύτην, οὐ δύναται εἰπεῖν· „ἐν[5]) θλίψει ἐπλάτυνάς μοι."

„Ἐκέκραξα[6]) πρὸς σὲ, κύριε· εἶπα· σὺ εἶ ἡ ἐλπίς μου, μερίς μου εἶ ἐν γῇ ζώντων," κ. τ. ε. Εἰ[7]) ὁ

---

[1]) Psalm. CXLII, 3. (CXLI.)
[2]) Ruaeus: Schedae Grabii.
[3]) Psalm. CXLII, 4. (CXLI.)
[4]) Ruaeus: Schedae Grabii.
[5]) Psalm. IV, 1.
[6]) Cfr. Psalm. CXLII, 5. (CXLI.)
[7]) Ruaeus: Schedae Grabii.

κύριος ἡμῶν σοφία ἐστὶ, καὶ μερὶς δὲ τῶν ζώντων αὐτός· ἡ μερὶς ἄρα τῶν ζώντων ἡ σοφία ἐστὶ, καθ' ἣν καὶ χρηματίζουσι ζῶντες, ἥτις ἐστὶν ὁ Χριστός.

„Ῥῦσαί[1]) με ἐκ τῶν καταδιωκόντων με," κ. τ. ε. Πειρασμοὶ[2]) συνεχεῖς καταδιώκουσι τὸν νοῦν ἀπὸ γνώσεως.

„Ἐξάγαγε[3]) ἐκ φυλακῆς τὴν ψυχήν μου," κ. τ. ε. Οὐ[4]) πάντων ἐστὶ τὸ λέγειν· „ἔκβαλε[5]) ἐκ φυλακῆς τὴν ψυχήν μου·" εἰ μὴ τῶν δυναμένων διὰ καθαρότητα καὶ χωρὶς τοῦ σώματος τούτου ἐπιβαλεῖν τῇ θεωρίᾳ τῶν γεγονότων.

Ψαλμὸς ἑκατοστὸς τεσσαρακοστὸς δεύτερος.

„Κύριε,[6]) εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, ἐπάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου," κ. τ. ε. Ὁ[7]) θαῤῥῶν, ὅτι ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνεῖ τὸν θεὸν, καὶ οὐκέτι ἐν τύπῳ, λέγοι ἂν τό· „ἐνώτισαι[8]) τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου."

„Καὶ[9]) μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν," κ. τ. ε. Ἐπὰν[10]) κρίνηται μετὰ τοῦ ἀνθρώπου ὁ κύ-

---

1) Psalm. CXLII, 6. (CXLI.)
2) Ruaeus: Schedae Grabii.
3) Psalm. CXLII, 7. (CXLI.)
4) Ruaeus: Schedae Grabii.
5) Cfr. Psalm. CXLII, 7. (CXLI.)
6) Psalm. CXLIII, 1. (CXLII.)
7) Ruaeus: Catena Corderii.
8) Psalm. CXLIII, 1. (CXLII.)
9) Psalm. CXLIII, 2. (CXLII.)
10) Ruaeus: Catena Corderii.

ριος, καὶ λέγῃ· „λαός[1]) μου, τί ἐποίησά σοι, ἢ τί ἐλύπησά σε;“ οὐδεὶς ζῶν δικαιωθήσεται. Ἐνώπιον μὲν γὰρ κυρίου οὐ δικαιωθήσεται πᾶς ζῶν· ἐνώπιον δὲ ἀνθρώπων οὐ μόνον ἀδίκων, ἀλλὰ καὶ ἄλλων δικαίων ἔσθ' ὅτε. Τὰ δὲ αἴτια τοῦ μὴ δικαιοῦσθαι, ἐπιφέρει συγγενῶς τῷ στίχῳ τούτῳ· „ὅπως[2]) ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.“

„Ἡ[3]) ψυχή μου ὡς γῆ ἄνυδρός σοι,“ κ. τ. ε. Γῆ[4]) ἄνυδρός ἐστι ψυχὴ καθαρὰ, πνευματικὴν γνῶσιν ἐπιζητοῦσα.

„Ταχὺ[5]) εἰσάκουσόν μου, κύριε, ἐξέλιπε τὸ πνεῦμά μου,“ κ. τ. ε. Ἐπὶ[6]) πλεῖον ἀκηδιῶν ἐκλείπει τὸ πνεῦμα τοῦ ἀνθρώπου. Τούτῳ δὲ ὅμοιον τό· „ἐν[7]) τῷ ἐκλείπειν ἐξ ἐμοῦ τὸ πνεῦμά μου.“

„Ἀκουστὸν[8]) ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα. Γνώρισόν μοι, κύριε, ὁδὸν, ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου,“ κ. τ. ε. Τὴν[9]) θεωρίαν ἐπιζητεῖ τοῦ μέλλοντος αἰῶνος, ἣν καὶ βασιλείαν οὐρανῶν ἔθος ὀνομάζειν τῇ θείᾳ γραφῇ.

„Τοῦ αὐτοῦ.“ Δύναται[10]) τοῦτο εἰπεῖν περὶ γνωρισμοῦ ὁδοῦ φερούσης ἐπ' ἀρετὴν, ἢ τῆς, ἣν μετὰ τὴν ἔξοδον ὁδεύει τις, ἥτις ἐστὶν ὁδὸς τοῦ ξύλου τῆς ζωῆς, ἣν φυλάσσει τὰ Χερουβὶμ καὶ φλογίνη ῥομφαία.

---

[1]) Mich. VI, 3.
[2]) Psalm. LI, 4. (L.)
[3]) Psalm. CXLIII, 6. (CXLII.)
[4]) Ruaeus: Schedae Grabii.
[5]) Psalm. CXLIII, 7. (CXLII.)
[6]) Ruaeus: Catena Corderii.
[7]) Psalm. CXLII, 3. (CXLI.)
[8]) Psalm. CXLIII, 8. (CXLII.)
[9]) Ruaeus: Schedae Grabii.
[10]) Ruaeus: Catena Corderii. — Cfr. Psalm. CXLIII, 8. (CXLII.)

„Τοῦ αὐτοῦ.“ Γῆ [1]) ζώντων καὶ γῆ εὐθεῖα ἡ αὐτή ἐστιν ἀγαθὴ, ἐφ' ἣν τὸ ἀγαθὸν τοῦ θεοῦ πνεῦμα ὁδηγεῖ τοὺς ἀξίους. Καὶ ἐντεῦθεν τὴν ἀξίαν τοῦ πνεύματος ἐδιδάχθημεν. Ὥσπερ γὰρ ὁ θεὸς, οὕτω καὶ τὸ πνεῦμα ὠνόμασται ἀγαθόν. Καὶ καθάπερ τὸν θεὸν ὁδηγῆσαι αὐτὸν ἱκετεύσας, οὕτω καὶ τῆς τοῦ πνεύματος ὁδηγίας ἀπολαῦσαι παρακαλεῖ, ὥστε μηδὲν αὐτῷ φανῆναι πρόσαντες μηδὲ δυσχερὲς, ἀλλ' εὐθεῖαν τὴν ὁδὸν ὁδεύειν καὶ λείαν, καὶ πλάνης ἀπηλλαγμένην.

Ψαλμὸς ἑκατοστὸς τεσσαρακοστὸς τρίτος.

„Εὐλογητὸς [2]) κύριος ὁ θεός μου, ὁ διδάσκων τὰς χεῖράς μου εἰς παράταξιν, τοὺς δακτύλους μου εἰς πόλεμον,“ κ. τ. ε. Ὁ [3]) διδαχθεὶς παρὰ κυρίου τὸν πρὸς τὴν ἀντικειμένην δύναμιν πόλεμον, ἐπίσταται λόγους ἀρετῶν καὶ κακιῶν, καὶ διαφορὰς λογισμῶν, γνωρίσματά τε ἀθείας καὶ ὅρους αὐτῆς, ἔτι δὲ καὶ τῶν νυκτερινῶν φαντασμάτων καὶ ἐνυπνίων γινώσκει τοὺς λόγους, ὧν οἱ μὲν ἀπὸ τοῦ λογικοῦ μέρους γίνονται τῆς ψυχῆς, κινουμένης τῆς μνήμης· οἱ δὲ ἀπὸ τοῦ θυμικοῦ, ἕτεροι δὲ ἀπὸ τοῦ ἐπιθυμητικοῦ. Ἀλλὰ περὶ μὲν τούτων ἀκριβέστερον ἐν τῷ πρώτῳ εἰλήφαμεν.

„Ἄνθρωπος [4]) ματαιότητι ὡμοιώθη, αἱ ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι,“ κ. τ. ε. Ἐπεὶ [5]) „ἄνθρωπος [6]) ἐν τιμῇ ὢν, οὐ συνῆκε, παρασυνεβλήθη τοῖς

---

[1]) Ruaeus: Catena Corderii. — Cfr. Psalm. CXLIII, 8. (CXLII.)

[2]) Psalm. CXLIV, 1. (CXLIII.)

[3]) Ruaeus: Schedae Grabii.

[4]) Psalm. CXLIV, 4. (CXLIII.)

[5]) Ruaeus: Catena Corderii.

[6]) Psalm. XLIX, 12. (XLVIII.)

κτήνεσι τοῖς ἀνοήτοις, καὶ ὡμοιώθη αὐτοῖς·“ „αἱ[1]) ἡμέραι αὐτοῦ ὡσεὶ σκιὰ παράγουσι.“ Τὰ γὰρ ἐνταῦθα παισὶν ἔοικε παίζουσιν. Ὁ σήμερον γὰρ δικάζων, ἕστηκεν αὔριον δικαζόμενος· καὶ ὁ σοβαρὸς ἐν τῷ ἄρχειν, ὑπὸ δημίου πολλάκις ἀπαγόμενος· καὶ ὁ πλούσιος ἐν πενίᾳ· καὶ ὁ ἀνέλπιστος καὶ ἀνώνυμος, πολλάκις τῶν ὅλων κρατῶν. Καὶ πυκναὶ αἱ μεταβολαὶ καὶ ἀνώμαλαι[2]) αἱ μεταστάσεις.

„Τοῦ αὐτοῦ.“ Ματαιότης[3]) ἐστὶν ἕξις χειρίστη λογικῆς ψυχῆς, καθ' ἣν τὰς φθαρτὰς ἡδονὰς προαιρουμένη, τῶν ἀϊδίων καὶ ἀφθάρτων καταφρονεῖ.

„Κύριε,[4]) κλῖνον οὐρανούς σου, καὶ κατάβηθι, ἅψαι τῶν ὀρέων, καὶ καπνισθήσονται,“ κ. τ. ε. Ἁφὴ[5]) ἐστι θεοῦ διδασκαλία πνευματικὴ, τὸν ἐκ τῆς κακίας ἀποκείμενον καπνὸν ταῖς ψυχαῖς ἐξελαύνουσα.

„Ἐξαπόστειλον[6]) τὰ βέλη σου, καὶ συνταράξεις αὐτούς,“ κ. τ. ε. Ταῦτα[7]) τὰ βέλη ἀντίκεινται τοῖς πεπυρωμένοις βέλεσι τοῦ ἐχθροῦ.

„Ἐξελοῦ[8]) με καὶ ῥῦσαί με ἐξ ὑδάτων πολλῶν, ἐκ χειρὸς υἱῶν ἀλλοτρίων· ὧν τὸ στόμα ἐλάλησε ματαιότητα, καὶ ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας,“ κ. τ. ε. Τῶν[9]) ἑτεροδόξων διὰ μεγάλα δόγματα ἐλάλησε τὸ στόμα ματαιότητα· διὰ δὲ τὰς πράξεις πονηρὰς ἡ δεξιὰ αὐτῶν δεξιὰ ἀδικίας. Οἱ ἀλλότριοι δὲ υἱοὶ οἴονταί τινα εἶναι

---

[1]) Psalm. CLXIV, 4. (CXLIII.)

[2]) Ed. Ruaei: ἀνώμαλαι.

[3]) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXLIV, 4. (CXLIII.)

[4]) Psalm. CXLIV, 5. (CXLIII.)

[5]) Ruaeus: Schedae Grabii.

[6]) Psalm. CXLIV, 6. (CXLIII.)

[7]) Ruaeus: Schedae Grabii.

[8]) Psalm. CXLIV, 7. 8. (CXLIII.)

[9]) Ruaeus: Catena Corderii.

δεξιὰ, ἅτινα ἀδικίας ἐστί. Διὸ καὶ ὁ διάβολος ἵσταται ἐκ δεξιῶν αὐτῶν, ὡς καὶ τοῦ Ἰούδα.

„Τοῦ αὐτοῦ.“ Καὶ[1]) ὁ προφήτης φησί· „πλὴν[2]) κρίμα λαλήσω πρὸς σέ· τί, ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται;“ Καὶ πάλιν ὁ Δαυίδ φησι· „παρ'[3]) ὀλίγον ἐξεχύθη τὰ διαβήματά μου, ὅτι ἐζήλωσα ἐπὶ τοῖς ἀνόμοις, εἰρήνην ἁμαρτωλῶν ὁρῶν.

„Ὁ[4]) θεὸς ᾠδὴν καινὴν ᾄσομαί σοι,“ κ. τ. ε. Ὁ[5]) τὴν καινὴν διαθήκην διατιθέμενος, τὴν καινὴν ᾠδὴν ᾄδει τῷ θεῷ· ἢ ὁ τὸν καινὸν ἄρτον τῆς καινῆς διαθήκης, καὶ τὸ ποτήριον ἀπὸ τοῦ Ἰησοῦ ἐν τῷ ἀναγαίῳ λαβών.

„Ὧν[6]) οἱ υἱοὶ ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν,“ κ. τ. ε. Τοῦ[7]) μὲν διὰ τὸ φοβεῖσθαι τὸν κύριον μακαρίου „οἱ[8]) υἱοὶ ὡσεὶ νεόφυτά εἰσιν ἐλαιῶν κύκλῳ τῆς τραπέζης αὐτοῦ·“ τῶν δὲ ἀλλοτρίων υἱῶν „οἱ[9]) υἱοὶ ὡς νεόφυτα ἱδρυμένα ἐν τῇ νεότητι αὐτῶν.“ Κἀκείνῳ μὲν οὖν οὐκ εἰσὶ θυγατέρες, τούτοις δὲ „κεκαλλωπισμέναι,[10]) περικεκοσμημέναι ὡς ὁμοίωμα ναοῦ.“ Κἀκείνῳ μέν εἰσιν υἱοὶ υἱῶν, τούτοις δὲ οὐχί. Ἔτι ἐκείνῳ μὲν οὐκ ἔστι ταμεῖον, οὐδὲ ἀποθήκη· τούτων δὲ „ταμεῖα[11]) πλήρη, ἐξερευγόμενα ἐκ τούτου εἰς τοῦτο.“ Καὶ κατὰ τὸ εὐαγγέλιον δὲ τοῖς τρεφομένοις ὑπὸ τοῦ οὐρανίου πατρὸς πετεινοῖς τοῦ οὐρανοῦ, οὐκ ἔστι τα-

---

[1]) Ruaeus: Schedae Grabii.
[2]) Cfr. Jerem. XII, 1.
[3]) Cfr. Psalm. LXXIII, 2. 3. (LXXII.)
[4]) Psalm. CXLIV, 9. (CXLIII.)
[5]) Ruaeus: Catena Corderii.
[6]) Psalm. CXLIV, 12. (CXLIII.)
[7]) Ruaeus: Catena Corderii.
[8]) Cfr. Psalm. CXXVIII, 3. (CXXVII.)
[9]) Psalm. CXLIV, 12. (CXLIII.)
[10]) Cfr. Psalm. CXLIV, 12. (CXLIII.)
[11]) Psalm. CXLIV, 13. (CXLIII.)

μεῖον, οὐδὲ ἀποθήκη. Καὶ πάλιν τούτοις ἐστὶ „πρόβατα[1]) πολυτόκα πληθύνοντα," οὐκ ἐν ἄλλοις τισὶν ἢ „ταῖς ἐξόδοις αὐτῶν·" καὶ „βόες[2]) παχεῖς," ὁποῖοι οἱ τῆς Αἰγυπτίας εὐθηνίας.

„Ἐμακάρισαν[3]) τὸν λαὸν, ᾧ ταῦτά ἐστι," κ. τ. ε. Μακαριότης[4]) ἀδίκων ἐστὶ βίος ἀπενθὴς μετὰ χρημάτων πολλῶν· δικαίων δὲ μακαριότης ἀπάθεια ψυχῆς μετὰ γνώσεως Θεοῦ.

Ψαλμὸς ἑκατοστὸς τεσσαρακοστὸς τέταρτος.

„Ὑψώσω[5]) σε ὁ Θεός μου," κ. τ. ε. Ὕψωσις[6]) πνευματική ἐστιν εὐχαριστία τοῦ καθαροῦ ἐπὶ τοῖς συμβᾶσιν αὐτῷ παρὰ τοῦ Θεοῦ ἀγαθοῖς.

„Καθ᾽[7]) ἑκάστην ἡμέραν εὐλογήσω σε," κ. τ. ε. Καὶ[8]) ἐν περιστάσεσι καὶ πειρασμοῖς ὧν εὐλογήσω σε, φησὶ, κύριε· τουτέστι, διηνεκῶς. Καὶ γὰρ πολλῶν ἐσμεν ὀφειλέται αὐτῷ, ὅτι οὐκ ὄντας ἐποίησεν, ὅτι τοιούτους εἰργάσατο, ὅτι γενομένους διακρατεῖ, ὅτι καθ᾽ ἑκάστην προνοεῖ τὴν ἡμέραν καὶ κοινῇ καὶ ἰδίᾳ, καὶ λάθρα καὶ φανερῶς, καὶ οὐκ εἰδότων. Οὐ διὰ ταῦτα δὲ μόνον αἶνον ᾄδειν διαπαντὸς προσῆκεν, ἀλλὰ καὶ διὰ τὸ μεγαλεῖον τῆς δόξης αὐτοῦ, διὰ τὴν ἀκήρατον οὐσίαν. Καὶ γὰρ διὰ ταύτην ὀφείλεται παρ᾽ ἡμῶν αὐτῷ αἶνος, καὶ εὐλογία, καὶ διηνεκὴς εὐχαριστία, καὶ λατρεία, καὶ

---

1) Cfr. Psalm. CXLIV, 13. (CXLIII.)
2) Cfr. Psalm. CXLIV, 14. (CXLIII.)
3) Psalm. CXLIV, 15. (CXLIII.)
4) Ruaeus: Schedae Grabii.
5) Psalm. CXLV, 1. (CXLIV.)
6) Ruaeus: Schedae Grabii.
7) Psalm. CXLV, 2. (CXLIV.)
8) Ruaeus: Catena Corderii.

διακονία συνεχής. Τοῦτο γοῦν αὐτὸ δηλῶν ὁ προφήτης ἐπήγαγεν.

„Μέγας[1]) ὁ κύριος καὶ αἰνετὸς σφόδρα, καὶ τῆς μεγαλωσύνης αὐτοῦ οὐκ ἔστι πέρας," κ. τ. ε. Ἐπείπερ[2]) ἡ μεγαλωσύνη τοῦ θεοῦ ἐν τῷ Χριστῷ καὶ ἐν τοῖς κτίσμασιν οὖσα θεωρεῖται, καὶ οὐκ ἔστι πέρας τῆς μεγαλωσύνης αὐτοῦ, μήποτε ἡ ἐξ ἀπείρου ἐπ' ἄπειρον καὶ ἐντεῦθεν παρίσταται τοῦ θεοῦ εἰς τὰ ὄντα ὑπ' αὐτοῦ γενόμενα πρόνοια.

„Τοῦ αὐτοῦ." Πάντων[3]) μὲν τῶν γεγονότων ἡ θεωρία πεπέρασται· μόνη δὲ ἡ γνῶσις τῆς ἁγίας τριάδος ἐστὶν ἀπέραντος.

„Καὶ[4]) οἱ οἰκτιρμοὶ αὐτοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ," κ. τ. ε. Εἰ[5]) οἱ οἰκτιρμοὶ τοῦ θεοῦ ἐπὶ πάντα τὰ ἔργα αὐτοῦ, πῶς εἰσί τινες, ἐφ' οὓς οὐ φθάνουσιν; Ἄρα καὶ ἐπ' αὐτοὺς οἱ οἰκτιρμοὶ τοῦ θεοῦ· εἰ μὴ ἄρα ἐπὶ μὲν τὰ ἔργα αὐτοῦ φθάνουσιν οἱ οἰκτιρμοὶ αὐτοῦ, ἐπὶ δὲ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ πάντως.

„Ἐξομολογησάσθωσάν[6]) σοι, κύριε, πάντα τὰ ἔργα σου, καὶ οἱ ὅσιοί σου εὐλογησάσθωσάν σε," κ. τ. ε. Νῦν[7]) ἔργα τὰς φύσεις τὰς λογικὰς λέγει· αὗται γὰρ πεφύκασιν ἐξομολογεῖσθαι θεῷ. Εἰ δ' ἀναπέμπεταί τις ἐξομολόγησις καὶ ἀπὸ τῆς λοιπῆς κτίσεως, θεὸς ἂν εἰδείη.

„Βασιλεία[8]) σου βασιλεία πάντων αἰώνων," κ. τ. ε. Εἰ[9]) ἡ βασιλεία τοῦ θεοῦ ἡ θεωρία τῶν γεγονότων καὶ

---

[1]) Psalm. CXLV, 3. (CXLIV.)
[2]) Ruaeus: Catena Corderii.
[3]) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXLV, 3. (CXLIV.)
[4]) Psalm. CXLV, 9. (CXLIV.)
[5]) Ruaeus: Catena Corderii.
[6]) Cfr. Psalm. CXLV, 10. (CXLIV.)
[7]) Ruaeus: Schedae Grabii.
[8]) Psalm. CXLV, 13. (CXLIV.)
[9]) Ruaeus: Schedae Grabii.

γενησομένων αἰώνων ἐστὶ, καλῶς εἴρηται τό· „ἡ[1]) βασιλεία σου βασιλεία πάντων τῶν αἰώνων.“

„Φυλάσσει[2]) κύριος πάντας τοὺς ἀγαπῶντας αὐτὸν, καὶ πάντας τοὺς ἁμαρτωλοὺς ἐξολοθρεύσει,“ κ. τ. ε. Ἐξολόθρευσις[3]) ἁμαρτωλοῦ ἐστι λογικῆς ψυχῆς χωρισμὸς ἀπὸ τῆς συμπάσης κατὰ κακίαν ζωῆς.

„Αἴνεσιν[4]) κυρίου λαλήσει τὸ στόμα μου, καὶ εὐλογείτω πᾶσα σὰρξ τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος,“ κ. τ. ε. Πᾶσα[5]) σὰρξ εὐλογοῦσα τὸ ὄνομα κυρίου εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, ἔσται δηλονότι εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος ὀψομένη τὸ σωτήριον τοῦ θεοῦ.

„Τοῦ αὐτοῦ.“ Καὶ[6]) ὁ Παῦλός φησιν· „οὐκ[7]) ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις.“ Πλὰξ τοίνυν σαρκίνη ἐστὶ ψυχὴ λογικὴ εὐκόλως ὑποδεχομένη τὸν τοῦ θεοῦ νόμον. Ἔστι δὲ καὶ ψεκτὴ σὰρξ, ὡς τό· „οὐ[8]) μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκας.“ Καὶ πάλιν ὁ Παῦλός φησι· „σὰρξ[9]) καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύνανται.“ Ἐνταῦθα γὰρ σὰρξ τὴν κακίαν σημαίνει.

---

1) Psalm. CXLV, 13. (CXLIV.)
2) Psalm. CXLV, 20. (CXLIV.)
3) Ruaeus: Schedae Grabii.
4) Psalm. CXLV, 21. (CXLIV.)
5) Ruaeus: Catena Corderii.
6) Ruaeus: Schedae Grabii.
7) II Cor. III, 3. 8) Cfr. Genes. VI, 3.
9) I Cor. XV, 50.

Ψαλμὸς ἑκατοστὸς τεσσαρακοστὸς πέμπτος.

„Τὸν[1]) φυλάσσοντα ἀλήθειαν εἰς τὸν αἰῶνα, ποιοῦντα κρίσιν τοῖς ἀδικουμένοις, διδόντα τροφὴν τοῖς πεινῶσιν," κ. τ. ε. Ἀλήθειαν[2]) εἶπε τὸν ἀληθινὸν, ἀπὸ τῆς ἕξεως ὀνομάσας τὸν μετέχοντα τῆς ἕξεως. Οὕτω καὶ ἐλεημοσύνην ἀγαπᾷ καὶ κρίσιν, τουτέστιν, ἐλεήμονα καὶ δικαιόκριτον. Καὶ παρὰ Παύλῳ „ἀγάπη[3]) οὐ περπερεύεται," ἀντὶ τοῦ· ὁ ἔχων τὴν ἀγάπην. Κατὰ τὰ αὐτὰ δὲ καὶ ἀπὸ τῶν χειρόνων ἕξεων εὑρήσεις ὀνομαζομένους τοὺς κεκτημένους αὐτάς.

„Κύριος[4]) λύει πεπεδημένους, κύριος σοφοῖ τυφλοὺς, κύριος ἀνορθοῖ κατεῤῥαγμένους," κ. τ. ε. Οὔτε[5]) τὰ πράγματα δεσμοῖ τὸν νοῦν, οὔτε τὰ τούτων νοήματα, ἀλλὰ τὰ ἐμπαθῆ τῶν πραγμάτων νοήματα. Καὶ γὰρ τὸν χρυσὸν ὁ κύριος ἔκτισε, καὶ αὐτὸς τὴν γυναῖκα ἐποίησεν, οὐδὲν δὲ τῶν γεγονότων ὑπὸ θεοῦ ἐναντιοῦται τῇ σωτηρίᾳ τῶν ἀνθρώπων, ἀλλ' ἡ πορνεία καὶ ἡ πλεονεξία δεσμοῦσι τὸν νοῦν, ἀναγκάζουσι χρονίζειν τὰ νοήματα τῶν πραγμάτων ἐν καρδίᾳ.

„Τοῦ αὐτοῦ." Ἐκείνους[6]) δηλαδὴ λέγει τυφλοὺς, τοὺς μήτε τὰ ἑαυτῶν κατορθώματα, μήτε τῶν ἄλλων τὰ ἐλαττώματα καταβλέποντας.

„Βασιλεύσει[7]) κύριος εἰς τὸν αἰῶνα," κ. τ. ε. Ὁ[8]) Χριστὸς ἐβασίλευσε μὲν πρὸ τῶν αἰώνων ἄσαρκος, ἐβα-

---

1) Psalm. CXLVI, 6. 7. (CXLV.)

2) Ruaeus: Schedae Grabii.

3) I Cor. XIII, 4.

4) Psalm. CXLVI, 7. 8. (CXLV.)

5) Ruaeus: Schedae Grabii.

6) Ruaeus: Catena Corderii. — Cfr. Psalm. CXLVI, 8. (CXLV.)

7) Psalm. CXLVI, 10. (CXLV.)

8) Ruaeus: Schedae Grabii.

σίλευσε δὲ καὶ τῇ σαρκὶ αἰωνίως. Ταῦτα δὲ τὸ πνεῦμα τὸ ἅγιον εὐαγγελίζεται τῇ ἐκκλησίᾳ.

Ψαλμὸς ἑκατοστὸς τεσσαρακοστὸς ἕκτος.

„Οἰκοδομῶν [1]) Ἱερουσαλὴμ ὁ κύριος, καὶ τὰς διασπορὰς τοῦ Ἰσραὴλ ἐπισυνάξει," κ. τ. ε. Οὓς [2]) διασκορπίζει ἡ κακία, τούτους συνάγει ἡ ἀρετή. Οὕτω καὶ ὁ κύριος ἐν τοῖς εὐαγγελίοις· „καὶ [3]) ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει."

„Ὁ [4]) ἀριθμῶν πλήθη ἄστρων," κ. τ. ε. Ὁ [5]) ἀριθμὸς, ᾧ χρώμενος ὁ θεὸς ἀριθμεῖ τὰ λογικὰ, καταστάσεως ἄστρων μηνύει διαφορὰς, καὶ ἃ τίθησιν ὀνόματα αὐτοῖς, διαφόρους πνευματικὰς γνώσεις σημαίνει. Περὶ δὲ τῶν ἑρπετῶν τῶν ἐν τῇ θαλάσσῃ φησίν· „ἐκεῖ [6]) ἑρπετὰ, ὧν οὐκ ἔστιν ἀριθμός." Πῶς γὰρ ἐφαρμοσθήσεται ὁ πνευματικὸς ἀριθμὸς τοῖς ἕρπουσιν ἐπὶ γαστέρα, καὶ δουλεύουσιν ἡδοναῖς, ὧν „ὁ [7]) θυμὸς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως," καὶ „ἰὸς [8]) ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν;" Καὶ πάλιν ὁ Σολομὼν πολλοὺς λέγει τοὺς τετρωμένους ὑπὸ κακίας, καὶ ἀναριθμήτους τοὺς πεφονευμένους.

„Ἀναλαμβάνων [9]) πραεῖς ὁ κύριος, ταπεινῶν δὲ ἁμαρτωλοὺς ἕως τῆς γῆς," κ. τ. ε. Ζητητέον, [10]) πόθεν

---

1) Psalm. CXLVII, 2. (CXLVI.)
2) Ruaeus: Schedae Grabii.
3) Luc. XI, 23.
4) Psalm. CXLVII, 4. (CXLVI.)
5) Ruaeus: Schedae Grabii.
6) Psalm. CIV, 25. (CIII.)
7) Cfr. Psalm. LVIII, 4. (LVII.)
8) Psalm. CXL, 3. (CXXXIX.)
9) Psalm. CXLVII, 6. (CXLVI.)
10) Ruaeus: Catena Corderii.

ταπεινοῖ τοὺς ἁμαρτωλούς. Διδάσκει δὲ τὸ ὅπου εἰπών· „ἕως[1]) γῆς.“ Καὶ μήποτε ταπεινοῖ, ποιῶν εἶναι ἐν τῷ γηΐνῳ τῆς ταπεινώσεως σώματι. Ἀναλαμβάνει μὲν οὖν πραεῖς, οὓς πρότερον ἐταπείνωσε· ταπεινοῖ δὲ ἕως γῆς ἁμαρτωλοὺς, πρὸ τῆς ἁμαρτίας ὄντας ἐν ὕψει.

„Τῷ[2]) περιβάλλοντι τὸν οὐρανὸν ἐν νεφέλαις,“ κ. τ. ε. Περιβάλλεται[3]) καὶ καλύπτεται ὁ οὐρανὸς καὶ τὰ θειότερα νεφέλαις, ἐφ᾽ ἃς φθάνει ἡ ἀλήθεια.

Ψαλμὸς ἑκατοστὸς τεσσαρακοστὸς ἕβδομος.

„Ὅτι[4]) ἐνίσχυσε τοὺς μοχλοὺς τῶν πυλῶν σου,“ κ. τ. ε. Μοχλοὶ,[5]) οἶμαι, τῶν πυλῶν εἰσιν Ἱερουσαλὴμ συνεχόμενοι ὑπὸ κυρίου, τὰ ὑπὲρ τῆς θεωρουμένης ἀληθείας καὶ καταλαμβανομένης λογικὰ δυνατῶς αὐτὴν παριστάντα.

„Τοῦ αὐτοῦ.“ Μοχλοὶ[6]) μὲν τῆς Ἱερουσαλήμ εἰσιν αἱ πρακτικαὶ ἀρεταὶ, κωλύουσαι τοὺς ἐχθροὺς παρεισδύναι· τῆς δὲ Σιὼν, τὰ οὐράνια δόγματα, καὶ ἡ ὀρθὴ πίστις τῆς προσκυνητῆς καὶ ἁγίας τριάδος· εἴπερ ἡ μὲν Ἱερουσαλὴμ τὴν ψυχὴν σημαίνει, ἡ δὲ Σιὼν, τὸν νοῦν. Ἑρμηνεύεται γὰρ Ἱερουσαλὴμ μὲν „ὅρασις εἰρήνης,“ Σιὼν δὲ „σκοπευτήριον.“

„Ὁ[7]) τιθεὶς τὰ ὅριά σου εἰρήνην,“ κ. τ. ε. Τὰ[8]) ὅρια τῆς Ἱερουσαλὴμ εἰρήνη ἐστὶ πάντα· ἔξω δὲ τῶν

---

1) Psalm. CXLVII, 6. (CXLVI.)
2) Psalm. CXLVII, 8. (CXLVI.)
3) Ruaeus: Catena Corderii.
4) Psalm. CXLVII, 13.
5) Ruaeus: Catena Corderii.
6) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXLVII, 13.
7) Psalm. CXLVII, 14.
8) Ruaeus: Catena Corderii.

ὁρίων αὐτῆς οὐκ ἔστιν εἰρήνη. Διὸ ὁ μὴ ἐν εἰρήνῃ, ἔξω ἐστὶ τῶν ὁρίων Ἱερουσαλήμ.

„Τοῦ αὐτοῦ.“ Ὅρια[1]) τῆς εἰρήνης φασὶν εἶναι τὴν ἀπάθειαν τῆς ψυχῆς.

„Καὶ[2]) στέαρ πυροῦ ἐμπιπλῶν σε,“ κ. τ. ε. Ὅμοιον[3]) ἐν ὀγδοηκοστῷ οὕτως· „καὶ[4]) ἐψώμισεν αὐτοὺς ἐκ στέατος πυροῦ.“ Ὁ κόκκος τοῦ σίτου ὁ σωτήρ ἐστι· διὸ καὶ πυρός ἐστιν, οὗ ἐμπίπλησιν ὁ θεὸς τὴν Ἱερουσαλήμ.

„Ὁ[5]) ἀποστέλλων τὸ λόγιον αὐτοῦ τῇ γῇ,“ κ. τ. ε. Γῆν[6]) ἐνταῦθα ἀλληγορεῖ, τάχα μὲν καὶ ἡμᾶς τοὺς ἐν ὀστρακίνοις σκεύεσι τὸν θησαυρὸν περιφέροντας· ἄμεινον δὲ τὸν υἱὸν τοῦ θεοῦ ἐκδέχεσθαι τὸν ἐν τῇ σαρκὶ, ἣν χωρῆσαι ἠθέλησε τὸν τοσοῦτον κύριον.

„Τοῦ[7]) διδόντος χιόνα ὡσεὶ ἔριον, ὁμίχλην ὡσεὶ σποδὸν πάσσοντος,“ κ. τ. ε. Διττῶς[8]) λέγεται διδόναι θεὸς, ἢ συγχωρῶν, ἢ ἐνεργῶν· ὡς εἴ καὶ περὶ τοῦ ἡλίου τις ἔλεγεν, ὅτι αὐτός ἐστιν ὁ τὴν ἡμέραν ποιῶν καὶ τὴν νύκτα, ἀλλ' ἡμέραν μὲν λάμπων, νύκτα δὲ ὑποχωρῶν. Κατὰ οὖν τὸ δεύτερον σημαινόμενον τὸ διδόναι τὸν θεὸν ἐνταῦθα νομιστέον, εἴπερ ἀποστέλλων τὸν λόγον αὐτοῦ τήκει αὐτά.

„Ἐξαποστελεῖ[9]) τὸν λόγον αὐτοῦ, καὶ τήξει αὐτά,“ κ. τ. ε. Ἡ[10]) χιὼν καὶ ὁ κρύσταλλος, καὶ ἡ ὁμίχλη,

---

1) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXLVII, 14.
2) Psalm. CXLVII, 14.
3) Ruaeus: Catena Corderii.
4) Psalm. LXXXI, 16. (LXXX.)
5) Psalm. CXLVII, 15.
6) Ruaeus: Catena Corderii.
7) Psalm. CXLVII, 16.
8) Ruaeus: Schedae Grabii.
9) Cfr. Psalm. CXLVII, 18.
10) Ruaeus: Schedae Grabii.

καὶ τὸ ψῦχος κατὰ στέρησιν τοῦ ἡλίου τῆς δικαιοσύνης ἐπισυμβαίνει τῇ φύσει τῇ λογικῇ, ἅπερ ἔτηξεν ὁ τοῦ θεοῦ λόγος ἀποσταλείς· „πῦρ[1]) γάρ, φησὶν, ἦλθον βαλεῖν ἐπὶ τὴν γῆν."

Ψαλμὸς ἑκατοστὸς τεσσαρακοστὸς ὄγδοος.

„Αἰνεῖτε[2]) τὸν κύριον ἐκ τῶν οὐρανῶν," κ. τ. ε. Αἶνός[3]) ἐστιν ὕμνος εἰς θεὸν ἐπὶ τῇ θεωρίᾳ τῶν γεγονότων.

„Αἰνεῖτε[4]) αὐτὸν πάντα τὰ ἄστρα καὶ τὸ φῶς," κ. τ. ε. Τὸ φῶς νῦν συμβολικῶς λογικὴν φύσιν σημαίνει· „ὑμεῖς[5]) γάρ, φησὶν, ἐστὲ τὸ φῶς τοῦ κόσμου."

„Αἰνεῖτε[6]) αὐτὸν οἱ οὐρανοὶ τῶν οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν οὐρανῶν· αἰνεσάτωσαν τὸ ὄνομα κυρίου," κ. τ. ε. Οὐρανός ἐστι νοητὸς, φύσις λογικὴ τὸν τῆς δικαιοσύνης ἥλιον ἐν αὐτῇ περιφέρουσα.

„Τοῦ[7]) αὐτοῦ." Ὕδωρ τὸ ἐπάνω τῶν οὐρανῶν λογικὰς φύσεις σημαίνει, κεχωρισμένας ἀπὸ τῶν ἐν τοῖς οὐρανοῖς ὄντων ὑδάτων.

„Καὶ[8]) ὑψώσει κέρας λαοῦ αὐτοῦ," κ. τ. ε. Κέρας ἐστὶ νοῦς καθαρός.

„Ὕμνος[9]) πᾶσι τοῖς ὁσίοις αὐτοῦ," κ. τ. ε. Ὕμνος ἐστὶν ἔμπληξις μετὰ δοξολογίας ἐπὶ τῇ θεωρίᾳ τῶν γεγονότων καὶ γενομένων ὑπὸ θεοῦ.

---

[1]) Luc. XII, 49. [2]) Psalm. CXLVIII, 1.

[3]) Ruaeus: Omnia in hunc Psalmum scholia e schedis Grabii desumta sunt.

[4]) Psalm. CXLVIII, 3. [5]) Matth. V, 14.

[6]) Psalm. CXLVIII, 4. 5.

[7]) Cfr. Psalm. CXLVIII, 4.

[8]) Psalm. CXLVIII, 14. [9]) Psalm. CXLVIII, 14.

Ψαλμὸς ἑκατοστὸς τεσσαρακοστὸς ἔννατος.

„Ἄισατε[1]) τῷ κυρίῳ ᾆσμα καινόν," κ. τ. ε. Οὗτος[2]) ᾄδει καινὸν ᾆσμα ὁ τὸν παλαιὸν ἄνθρωπον ἀποθέμενος, τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς ἀπάτης, καὶ ἐνδυσάμενος τὸν νέον τὸν κατὰ Θεὸν κτισθέντα.

„Ἡ[3]) αἴνεσις αὐτοῦ ἐν ἐκκλησίᾳ ὁσίων," κ. τ. ε. Ὡς[4]) „οὐχ[5]) ὡραῖος αἶνος ἐν στόματι ἁμαρτωλοῦ·" οὕτως οὐδὲ ἐν ἐκκλησίᾳ πονηρευομένων, ἀλλ' ἐν ἐκκλησίᾳ ὁσίων· καὶ ἐν ταύτῃ μᾶλλον ἢ ἐν ἑνὶ, ἢ ἐν ὀλίγοις.

„Εὐφρανθήτω[6]) Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτὸν, καὶ υἱοὶ Σιὼν ἀγαλλιάσθωσαν ἐπὶ τῷ βασιλεῖ „αὐτῶν," κ. τ. ε. Ἐπεὶ[7]) περὶ μὲν τοῦ κατ' εἰκόνα τό· „ἐποίησεν·" εἴρηται, περὶ δὲ τοῦ ἀπὸ τοῦ χοῦ τό· „ἔπλασε·" καὶ ἡ ἁγία εὐφροσύνη ἐν τῷ κατ' εἰκόνα ἐστὶ, διὰ τοῦτο Ἰσραὴλ ἐπὶ τῷ ποιήσαντι αὐτὸν προστάσσεται εὐφραίνεσθαι. Υἱῶν δὲ Σιὼν βασιλεύει Χριστὸς, τουτέστι, σοφία, λόγος, ἀλήθεια, ἐφ' ᾧ ἀγαλλιάσθωσαν.

„Αἰνεσάτωσαν[8]) τὸ ὄνομα αὐτοῦ ἐν χορῷ," κ. τ. ε. Ἐὰν[9]) οἱ πολλοὶ ἐν τῷ αὐτῷ νοΐ καὶ τῇ αὐτῇ γνώμῃ ὁμοθυμαδὸν μιᾷ ψυχῇ καὶ μιᾷ καρδίᾳ αἰνῶσι τὸ ὄνομα καὶ τὴν ἰδιότητα τοῦ βασιλέως, αἰνοῦσι τὸ ὄνομα αὐτοῦ ἐν χορῷ μετὰ συμφωνίας.

„Ἐν[10]) τυμπάνῳ καὶ ψαλτηρίῳ ψαλάτωσαν αὐ-

---

1) Psalm. CXLIX, 1.
2) Ruaeus: Schedae Grabii.
3) Psalm. CXLIX, 1.
4) Ruaeus: Catena Corderii.
5) Sap. Sirac. XV, 9. (Ecclesiastic.)
6) Psalm. CXLIX, 2.
7) Ruaeus: Catena Corderii.
8) Psalm. CXLIX, 3.
9) Ruaeus: Catena Corderii.
10) Psalm. CXLIX, 3.

τῷ," κ. τ. ε. Οἱ[1]) μὲν νεκρώσαντες τὰ ἐπὶ γῆς μέλη, καὶ ἀναγαγόντες ἐπὶ τὸ ξύλον, τῷ Χριστῷ συσταυροῦσθαι τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐν τυμπάνῳ ψάλλουσι τῷ θεῷ· οἱ δὲ ὁλόκληροι καὶ ἁρμόνιοι τῷ πνεύματι, ἐν ψαλτηρίῳ.

„Ὅτι[2]) εὐδοκεῖ κύριος ἐν λαῷ αὐτοῦ, καὶ ὑψώσει πραεῖς ἐν σωτηρίᾳ," κ. τ. ε. Εὐδοκεῖ[3]) κύριος ἐν τῇ ἰδίᾳ μερίδι, ἥτις ἐστὶν ὁ λαὸς αὐτοῦ, οὐκ ἐν ἄλλῳ τινὸς ἄρχοντος τοῦ αἰῶνος τούτου λαῷ. Καὶ ὑψώσει πραεῖς εἰς γῆν, ἣν κληρονομοῦσιν οἱ πραεῖς, οὐ τὴν κάτω, ἀλλὰ ταύτην, ἐφ' ἧς ἐστιν ἡ ἄνω Ἱερουσαλήμ. „Ὑψώσει[4]) γὰρ θεὸς πραεῖς ἐν σωτηρίᾳ" καὶ „καυχήσονται[5]) ὅσιοι ἐν δόξῃ." Ἐν ποίᾳ δόξῃ; Εὐλόγως περὶ ἧς φησιν· „ὁ[6]) καυχώμενος, ἐν κυρίῳ καυχάσθω·" ἢ τοιαύτῃ, ὁποίαν εἶχε Μωυσῆς, ὅτε δεδόξασται ἡ ὄψις τοῦ προσώπου αὐτοῦ· καὶ περὶ ἧς φησιν ὁ Παῦλος· „ἡμεῖς[7]) δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν."

„Καὶ[8]) ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν," κ. τ. ε. Ἀγαλλιάσονται[9]) ἐπὶ τῶν κοιτῶν αὐτῶν, οἷς „ἡ[10]) νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν·" οἳ καὶ ὡς[11]) ἐν ἡμέρᾳ εὐσχημόνως περιπατοῦσιν, οὐ κώμοις καὶ μέθαις, οὐ κοίταις καὶ ἀσελγίαις.

„Αἱ[12]) ὑψώσεις τοῦ θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν,"

---

1) Ruaeus: Catena Corderii.
2) Psalm. CXLIX, 4.
3) Ruaeus: Catena Corderii.
4) Psalm. CXLIX, 4 5) Psalm. CXLIX, 5.
6) Cfr. I Cor. I, 31. coll. Jerem. IX, 23. 24.
7) II Cor. III, 18. 8) Psalm. CXLIX, 5.
9) Ruaeus: Catena Corderii.
10) Rom. XIII, 12. 11) Cfr. Rom. XIII, 13.
12) Psalm. CXLIX, 6.

κ. τ. ε. Ὧν[1]) οὐ τάφος ἀνεῳγμένος ὁ λάρυγξ, τούτων „ὑψώσεις[2]) θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν, καὶ ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν," τῶν ἑτοίμως ἐχόντων ἐκδικεῖν πᾶσαν παρακοὴν, καὶ καθαιρούντων[3]) „πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ."

„Καὶ[4]) ῥομφαῖαι δίστομοι ἐν ταῖς χερσὶν αὐτῶν," κ. τ. ε. Ῥομφαῖαί[5]) εἰσι διαλογισμοὶ καὶ πράξεις ψυχῆς ἐκ κακίας καὶ ἀγνωσίας.

„Τοῦ αὐτοῦ." Ῥομφαία[6]) ἐστὶ νοῦς λογικὸς ἐκκόπτων ψυχὴν ἀπὸ κακίας καὶ ἀγνωσίας.

„Τοῦ[7]) ποιῆσαι ἐκδίκησιν ἐν τοῖς ἔθνεσιν, ἐλεγμοὺς ἐν τοῖς λαοῖς," κ. τ. ε. „Ἐκδίκησιν[8]) μὲν ἐν τοῖς ἔθνεσιν," ἐν τοῖς ἑτεροδόξοις· „ἐλεγμοὺς δὲ ἐν τοῖς λαοῖς," τοῖς ἁμαρτάνουσι, κατὰ τὸν βίον νομιζομένοις ἐκκλησιαστικοῖς.

„Τοῦ[9]) δῆσαι τοὺς βασιλεῖς αὐτῶν ἐν πέδαις, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς," κ. τ. ε. Ὁ[10]) συμβιβάζων διδασκάλους ἑτεροδόξων, καὶ τοὺς ἐν ἐκείνοις δοκοῦντας διὰ νομιζομένην ἱκανότητα ἐνδόξους, δεῖται βασιλεῖς αὐτῶν ἐν πέδαις, ἵνα μὴ προβαίνωσι τῷ λόγῳ αὐτῶν, καὶ τοὺς ἐνδόξους αὐτῶν ἐν χειροπέδαις σιδηραῖς, ἵνα μηκέτι κρατῶσι τὸν πάλαι διὰ τὸ εὐεξαπάτητον κρατούμενον.

„Τοῦ αὐτοῦ." Δεσμός[11]) ἐστι νοητὸς ἀπάθεια

---

[1]) Ruaeus: Catena Corderii.
[2]) Psalm. CXLIX, 6. [3]) Cfr. II Cor. X, 5.
[4]) Psalm. CXLIX, 6.
[5]) Ruaeus: Schedae Grabii.
[6]) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXLIX, 6.
[7]) Psalm. CXLIX, 7.
[8]) Ruaeus: Catena Corderii. — Cfr. Psalm. CXLIX, 7.
[9]) Psalm. CXLIX, 8.
[10]) Ruaeus: Catena Corderii.
[11]) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CXLIX, 8.

λογικῆς ψυχῆς· ἢ φόβος κυρίου ἐκκλίνων ἀπὸ κακίας· ἢ διδασκαλία πνευματικὴ, μὴ συγχωροῦσα τὸν νοῦν ἐπὶ τὴν κακίαν ὁδεύειν· ἢ ἀγάπη πνευματικὴ, μηδὲν προτιμῶσα τῆς γνώσεως τοῦ θεοῦ.

„Τοῦ[1]) ποιῆσαι ἐν αὐτοῖς κρίμα ἔγγραπτον," κ. τ. ε. Ποιοῦσιν[2]) οἱ ὅσιοι κρίμα ἔγγραφον, καὶ γραφῆς τῆς ἐν πνεύματι ἄξιον, ἐν τοῖς προειρημένοις βασιλεῦσι καὶ ἐνδόξοις· καὶ πάντα τὰ προειρημένα δόξα ἐστὶ πᾶσι τοῖς ὁσίοις τοῦ θεοῦ, ὡς τὸν μὴ ἔχοντα ταῦτα μὴ εἶναι ὅσιον θεοῦ.

Ψαλμὸς ἑκατοστὸς πεντηκοστός.

„Αἰνεῖτε[3]) τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ," κ. τ. ε. Μηδεὶς[4]) ἐξελθὼν τὰ ἅγια αἰνείτω τὸν θεόν· „πῶς[5]) γὰρ ᾄσωμεν τὴν ᾠδὴν κυρίου ἐπὶ γῆς ἀλλοτρίας;" Ἀλλοτρία δὲ γῆ τὰ μὴ ἅγια. Ἢ ἐπεὶ οὐ δοτέον τὰ ἅγια τοῖς κυσὶν, οὐδὲ βλητέον τὰς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων, ἡ δὲ αἴνεσις κυρίου ἁγία καὶ μαργαρίτης· ἐν ἁγίοις αἰνετέον τὸν θεὸν, καὶ οὔτε ἐν κυσὶν, οὔτε ἐν χοίροις.

„Αἰνεῖτε[6]) αὐτὸν ἐν στερεώματι δυνάμεως αὐτοῦ," κ. τ. ε. Ὅπου[7]) στερέωμα πίστεως καὶ οἰκοδομῆς ὁμοίας τῇ ἐπὶ πέτραν ὑπὸ ἀνδρὸς φρονίμου οἰκοδομηθείσῃ, καὶ Χριστὸς ἡ τοῦ θεοῦ δύναμις, ἐκεῖ ὡς ἐν στερεώματι δυνάμεως θεοῦ αἰνείσθω ὁ θεός. Καὶ ἔστω ταῦτα ἐν τῷ λέγοντι καὶ ἐν τῷ ἀκούοντι.

---

[1]) Psalm. CXLIX, 9.
[2]) Ruaeus: Catena Corderii.
[3]) Psalm. CL, 1.
[4]) Ruaeus: Catena Corderii.
[5]) Psalm. CXXXVII, 4. (CXXXVI.)
[6]) Psalm. CL, 1.
[7]) Ruaeus: Catena Corderii.

„Αἰνεῖτε[1]) αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ,“ κ. τ. ε. Ὡς[2]) ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ εὐλογεῖ ἡ ψυχὴ τοῦ δικαίου τὸν θεόν· οὕτως καὶ αἰνετέον αὐτὸν καὶ ἐφ' αἷς ἔστησε καὶ ἔταξε δυναστείαις· ἃς νοείτωσαν, ἵνα καὶ μετέχωσιν αὐτῶν ὁ λέγων καὶ ἀκούων. Ἄῤῥητα γὰρ τὰ διὰ τῶν ἁγίων αὐτοῦ διηνεκῶς κατορθούμενα.

„Αἰνεῖτε[3]) αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ,“ κ. τ. ε. Νοηθείσης[4]) ἑκάστης μεγαλωσύνης τοῦ θεοῦ, καὶ ἕκαστον τῶν κτισμάτων νοηθήσεται, καὶ τὸ πλῆθος τῆς μεγαλωσύνης, ἧς ἑκάστης οὐκ ἔστι πέρας.

„Αἰνεῖτε[5]) αὐτὸν ἐν ἤχῳ σάλπιγγος,“ κ. τ. ε. Κατὰ[6]) τὸν πνευματικὸν περὶ σαλπίγγων κατασκευῆς ἐν Ἀριθμοῖς λόγον, κατασκευαστέον σάλπιγγα, ἵνα ἐν ἤχῳ αὐτῆς αἰνέσωμεν τὸν θεόν. Τοιαῦται δὲ, οἶμαι, σάλπιγγες δηλοῦνται καὶ ἐν τῷ· „σαλπίσει[7]) γὰρ, καὶ οἱ νεκροὶ ἐγερθήσονται ἄφθαρτοι.“ Καὶ ἐν τῷ· „ἐν[8]) φωνῇ ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι τοῦ θεοῦ καταβήσεται ἀπ' οὐρανοῦ.“ Ἔστι δὲ καὶ ἑορτὴ νεομηνία ἑβδόμου μηνὸς μνημόσυνον σαλπίγγων· καθ' ὃ λέγεται· „σαλπίσατε[9]) ἐν νεομηνίᾳ σάλπιγγι, ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς ἡμῶν.“

„Τοῦ αὐτοῦ.“ Σάλπιγξ[10]) ἐστὶ νοῦς θεωρητικὸς, ἢ νοῦς διδασκαλίαν πνευματικὴν πεπιστευμένος.

---

[1]) Psalm. CL, 2.
[2]) Ruaeus: Catena Corderii.
[3]) Psalm. CL, 2.
[4]) Ruaeus: Catena Corderii.
[5]) Psalm. CL, 3.
[6]) Ruaeus: Catena Corderii.
[7]) I Cor. XV, 52.
[8]) I Thess. IV, 16.
[9]) Psalm. LXXXI, 3. (LXXX.)
[10]) Ruaeus: Schedae Grabii. — Cfr. Psalm. CL, 3.

„Αἰνεῖτε[1]) αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ· αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις· αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ," κ. τ. ε. Κιθάρα[2]) ἐστὶ ψυχὴ πρακτικὴ ὑπὸ τῶν ἐντολῶν τοῦ Χριστοῦ κινουμένη. Τύμπανόν ἐστι νέκρωσις τοῦ ἐπιθυμητικοῦ δι' αὐτὸ τὸ καλόν. Χορὸς δέ ἐστι συμφωνία ψυχῶν λογικῶν τὸ αὐτὸ λεγουσῶν, καὶ μὴ ἐχουσῶν σχίσματα. Χορδαί εἰσι συμφώνησις ἀνταναιρεθείσης φωνῆς ἀρετῶν καὶ ὀργάνων. Ὄργανόν ἐστιν ἐκκλησία θεοῦ, ἀπὸ θεωρητικῶν καὶ πραγματικῶν συνεστῶσα ψυχῶν. Κύμβαλόν ἐστιν εὔηχον, ψυχὴ πρακτικὴ τῷ πόθῳ προσηλωμένη τοῦ Χριστοῦ. Κύμβαλόν ἐστιν ἀλαλαγμοῦ, νοῦς καθαρὸς παρὰ τῆς τοῦ Χριστοῦ ἐμπνεόμενος σωτηρίας.

„Τοῦ αὐτοῦ." Χορδαὶ[3]) πλείους ἁρμονίως συντεθειμέναι, καὶ μουσικῶς ἑκάστη ἐν οἰκείᾳ χώρᾳ τεταγμένη, αἱ πολλαί εἰσιν ἐντολαὶ καὶ τὰ περὶ πλειόνων δόγματα, οὐδεμίαν ἔχοντα πρὸς ἄλληλα διαφωνίαν. Ὄργανον δὲ τούτων πάντων περιεκτικὸν ἡ τοῦ σοφοῦ ἐν Χριστῷ ψυχή.

„Τοῦ αὐτοῦ." Ὁ[4]) μὲν ταῖς γλώσσαις τῶν ἀνθρώπων ἢ τῶν ἀγγέλων λαλῶν, ἀγάπην δὲ μὴ ἔχων, οὐκ ἔστιν εὔηχον κύμβαλον.

„Πᾶσα[5]) πνοὴ αἰνεσάτω τὸν κύριον," κ. τ. ε. Εἰ[6]) τὸ φῶς τοῦ κυρίου κατὰ τὸν Σολομῶντα ἡ πνοὴ ἀνθρώπων ἐστὶ, πᾶσα λογικὴ φύσις, ἀναπνέουσα τοῦτο τὸ φῶς, αἰνεσάτω τὸν κύριον.

---

[1]) Psalm. CL, 3. 4. 5.

[2]) Ruaeus: Schedae Grabii.

[3]) Ruaeus: Catena Corderii. — Cfr. Psalm. CL, 4.

[4]) Ruaeus: Catena Corderii. — Cfr. Psalm. CL, 5.

[5]) Psalm. CL, 6.

[6]) Ruaeus: Schedae Grabii.

ΕΚ ΤΗΣ ΩΡΙΓΕΝΟΥΣ ΟΜΙΛΙΑΣ

εἰς τὸν ψαλμὸν ὀγδοηκοστὸν δεύτερον.

„Ἐλήλυθέ[1]) τις ἐπὶ τοῦ παρόντος μέγα φρονῶν ἐπὶ τῷ δύνασθαι πρεσβεύειν γνώμης ἀθέου καὶ ἀσεβεστάτης, καλουμένης Ἑλκεσαϊτῶν,[2]) νεωστὶ ἐπανισταμένης ταῖς ἐκκλησίαις. Ἐκείνη ἡ γνώμη οἷα λέγει κακὰ, παραθήσομαι ὑμῖν, ἵνα μὴ συναρπάζησθε. Ἀθετεῖ τινα ἀπὸ πάσης γραφῆς. Κέχρηται ῥητοῖς πάλιν ἀπὸ πάσης παλαιᾶς τε καὶ εὐαγγελικῆς, τὸν ἀπόστολον τέλεον ἀθετεῖ· φησὶ δὲ, ὅτι τὸ ἀρνήσασθαι ἀδιάφορόν ἐστι. Καὶ ὁ μὲν νοήσας, τῷ στόματι ἐν ἀνάγκαις ἀρνήσεται, τῇ δὲ καρδίᾳ οὐχί. Καὶ βίβλον τινὰ φέρουσιν, ἣν λέγουσιν ἐξ οὐρανοῦ καταπεπτωκέναι.[3]) Καὶ τὸν ἀκηκοότα ἐκείνης καὶ πιστεύοντα, ἄφεσιν λήψεσθαι τῶν ἁμαρτημάτων, ἄλλην ἄφεσιν παρ᾽ ἣν Χριστὸς Ἰησοῦς ἀφῆκε.

---

[1]) Cfr. de hoc fragmento, quod frustra desideratur in ed. Ruaei, edd. Huetii coll. Eusebii Histor. Eccles. Lib. VI. cap. 38.

[2]) Cfr. Theodoretus in libr. II. haereticarum fabularum cap. 7., Epiphanius in haeresi Ebionaeorum, in haeresi Ossenorum, itemque in haeresi Sampsaeorum. Vide porro Augustinum de haeresibus cap. 10., nec non Methodium in lib. VIII. convivii.

[3]) Huet. in margine: „Robert. Stephanus: πεπτωκέναι."

ΕΚ ΤΩΝ ΩΡΙΓΕΝΟΥΣ
ΕΞΗΓΗΤΙΚΩΝ ΕΚΛΟΓΑΙ[1])
ΕΙΣ ΘΡΗΝΟΥΣ.

Κεφάλαιον πρῶτον.

„Καὶ[2]) ἐγένετο μετὰ τὸ αἰχμαλωτισθῆναι.“ Ὁ Ἱερεμίας αἰχμαλωτισθέντος τοῦ λαοῦ, καὶ ὄντος ἐν Βαβυλῶνι, θρηνεῖ τὴν πόλιν, καὶ τὴν χώραν, καὶ τὸν λαὸν ἐπὶ τοῖς συμβεβηκόσιν, καὶ θρηνεῖ περικοπάς τινας, καὶ διαστολὰς περιγράφων, ἀρχομένας ἑξῆς ἀπὸ τῶν παρ' Ἑβραίοις στοιχείων. Καὶ μετὰ τὸ τελέσαι τὸν ἐφ' ἑκάστου στοιχείου θρῆνον, καὶ ἐπὶ πᾶσιν τὸν ἀπὸ τοῦ ת ἀρχόμενον, ὅπερ ἐστὶ τελευταῖον τῶν Ἑβραίων γράμμα, ἐπανέρχεται ἐπὶ τὸ Ἄλεφ, καὶ πάλιν θρηνεῖ, καὶ τοῦτο ποιεῖ τετράκις, τὰ εἴκοσι δύο στοιχεῖα ἐπεξιών.

„Τοῦ αὐτοῦ.“ Διὰ τοῦτό φασιν Ἑβραῖοι τῆς παλαιᾶς γραφῆς ἰσαρίθμους τοῖς στοιχείοις εἶναι τὰς βίβλους, ὡς εἶναι πρὸς θεογνωσίαν πᾶσαν εἰσαγωγὴν, καθάπερ τὰ στοιχεῖα πρὸς ἅπασαν τοῖς μανθάνουσι σοφίαν. Διὰ τοῦτο τετραπλασιάζεται τάχα, διότι καὶ τῶν σωμάτων τὰ στοιχεῖα καθέστηκε τέσσαρα. Καὶ μετ' ὀλίγα· ἔκδοσις δὲ Ἀκύλα καὶ Θεοδοτίωνος ἐν τοῖς Θρήνοις οὐ φαίνεται, μόνου δὲ Συμμάχου καὶ τῶν Ἑβδομήκοντα. Καὶ πάλιν· ζητήσειε δ' ἄν τις, πῶς τῆς

---

[1]) Depromta sunt haec fragmenta e Catena Ghislerii. — Cfr. Prolegomena coll. ed. Ruaei Tom. III.

[2]) Thren. I, 1.

ἐπιγραφῆς τοῦ βιβλίου πληθυντικῶς ἐχούσης „θρῆνοι," ἑνικῶς ἐν τῷ προοιμίῳ τὸν θρῆνον τοῦτόν φησιν. Ἀλλὰ μερικοὶ μὲν πλείους ὑπάρχουσιν, τοῖς στοιχείοις διῃρημένοι, εἰς ἕνα δὲ πάντως ἀνάγονται πρὸς μίαν ὑπόθεσιν τὸν Ἰσραὴλ ἀναγόμενοι.

„Τοῦ αὐτοῦ κατὰ θεωρίαν." Ἐὰν ἴδωμεν ὑποχείριον γινομένην τὴν ψυχὴν τῷ διαβόλῳ, ἢ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, καὶ ἁπαξαπλῶς ταῖς ἐχθραῖς δυνάμεσι τὴν τῇ φύσει θεωρητικὴν καὶ συνορᾶν τὰ ὄντα καὶ ἐπιστῆσαι δυναμένην, νοήσομέν πως τὴν αἰχμαλωσίαν καὶ τὸν αἰχμαλωτεύσαντα. Ἀλλὰ καταφυγόντες ἐπὶ τὸν Χριστὸν, τὸν κηρύξαντα κατὰ τὸν προφήτην Ἡσαΐαν αἰχμαλώτοις ἄφεσιν, ἐλευθερωθησόμεθα ἀπὸ τῆς αἰχμαλωσίας, κἂν μέχρι τοῦ δῆσαι φθάσῃ ὁ αἰχμαλωτεύσας. Ἦλθε γὰρ Ἰησοῦς ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, ἐξ οἴκου φυλακῆς καθημένους ἐν σκότει.

„Ἐκάθισεν[1]) Ἱερεμίας κλαίων." Τὸν ἐξ ἀγάπης κλαυθμὸν μακαριζόμενον. Τοῦ γὰρ ἁγίου ἐστὶν „κλαίειν[2]) μετὰ κλαιόντων, καὶ χαίρειν μετὰ χαιρόντων."

„Τοῦ αὐτοῦ." „Ἐγγίζων[3]) τῇ Ἱερουσαλὴμ ὁ κύριος ἔκλαυσεν, καὶ εἶπεν· εἰ ἔγνωκας σὺ τὰ εἰς εἰρήνην σου!" „Ἱερουσαλὴμ,[4]) Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτὴν, ποσάκις ἠθέλησα ἐπισυνάξαι τὰ τέκνα σου, ὃν τρόπον ὄρνις ἐπισυνάγει τὰ νοσσία ἑαυτῆς ὑπὸ τὰς πτέρυγας, καὶ οὐκ ἠθελήσατε!"

„Τοῦ αὐτοῦ." Εἰ τοίνυν „μακάριοι[5]) οἱ κλαίοντες, ὅτι γελάσετε," ἔδει Ἱερεμίαν τὸν μυστικὸν τοῦτον κλαῦσαι κλαυθμὸν, καὶ κατὰ τό· „μακάριοι[6]) οἱ πενθοῦντες·" πενθῆσαι τοὺς τοῦ πενθεῖσθαι ἀξίους.

---

[1]) Thren. I, 1. [2]) Cfr. Rom. XII, 15.
[3]) Cfr. Luc. XIX, 41.
[4]) Cfr. Matth. XXIII, 37.
[5]) Luc. VI, 21. [6]) Matth. V, 4.

„Πῶς[1]) ἐκάθισε μόνη ἡ πόλις.“ Ἔοικεν δὲ τὸ μὲν πλῆθος τοῦ λαοῦ, ὅσον ἐπὶ τῇ λέξει, δηλοῦν τοὺς ἐνοικοῦντας Ἰσραηλίτας, τὸ δὲ πλῆθος τῶν ἐθνῶν, ὡς προειρήκαμεν, τοὺς προσηλύτους. Εἰς δὲ ἀναγωγὴν ἐπεὶ συγγενέστερά ἐστι τῇ ψυχῇ, καὶ ἀπερίστατα τὰ θεωρητικὰ μᾶλλον ἢ τὰ πρακτικὰ, τὸ μὲν πλῆθος τοῦ λαοῦ σημαίνοι ἂν τῆς μακαριζομένης Ἱερουσαλὴμ τὸν πλοῦτον τῶν θεωρημάτων· τὸ δὲ πλῆθος τῶν ἐθνῶν τὸν πολὺν ἀριθμὸν τῶν καλῶν πράξεων. Καὶ μετ' ὀλίγα· ἡ πεπληθυσμένη ἐν ἔθνεσι μόνη καθέζεται, τῷ τὸν νυμφίον λόγον ἡ νύμφη ἀποβεβληκέναι, γινομένη ὡς χήρα ἥ ποτε τοῖς προειρημένοις ἔθνεσι πλήθουσα.

„Τοῦ αὐτοῦ.“ Ὅσον ἐπὶ τῇ λέξει ἁρμόζει τὴν Ἱερουσαλὴμ νοεῖσθαι λέγεσθαι μετὰ θαυμασμοῦ διὰ τὴν ἐπὶ τὸ σκυθρωπότερον μεταβολὴν μεμονῶσθαι καθίσασαν τήν ποτε πλήθουσαν λαῶν, ἵνα ἡ μόνωσις ᾖ ἐρημία, ἢ αὐτῆς ἐσχηκυίας μὲν ἄνδρα τὸν προστάτην ἔμψυχον λόγον, ὅτε αὐτῷ εἵπετο παρόντι καὶ βοηθοῦντι, κεχηρευκυίας δὲ καὶ καταλελειμμένης ὑπ' αὐτοῦ διὰ τὰ ἡμαρτημένα. Καὶ μεθ' ἕτερα· Ταῦτα μὲν οὖν πρὸς τὸ ῥητόν· πρὸς δὲ διάνοιαν, Ἱερουσαλὴμ εὐθήνουσα, καὶ λαῷ καὶ ἔθνεσι πλήθουσα, καὶ χωρῶν ἄρχουσα, ἡ θεία ἐστὶν ψυχή. Καὶ οὐ θαυμαστὸν, εἰ οὐ μόνον οἰκία, οὐδὲ ἔπαυλις, οὐδὲ ἡ ταύτης μείζων κώμη προσαγορευθεῖσα, οὐδὲ πόλις ἡ τυχοῦσα, ἀλλὰ πασῶν πόλεων διαφέρουσα, καὶ παρὰ θεῷ τετιμημένη Ἱερουσαλὴμ χρηματίζει ἡ τελεία ψυχὴ, μεγέθους ἀξιολόγου πόλει τῇ μεγίστῃ περιβαλλομένου αὐτῇ ὑπὸ τῆς σοφίας, καὶ πάσης ἀρετῆς περιτιθεμένης πολλαπλάσια οἰκοδομήματα. Καὶ μετ' ὀλίγα· Ὥσπερ δὲ ἔνεστιν ἰδεῖν Ἱερουσαλὴμ εὐθηνουμένην, πληθύνουσαν λαῷ καὶ ἔθνεσιν, καὶ ἄρχουσαν ἐν χώραις, οὕτως εἰ μεταπτωτή ἐστιν ἡ ἀρετὴ, μονουμένην ποτὲ αὐτὴν καὶ χηρεύουσαν, καὶ δουλεύουσαν,

---

[1]) Thren. I, 1.

ὥστε καὶ φόρους τῷ κρατήσαντι αὐτῆς ἐχθρῷ τελεῖν κατὰ ψυχὴν τοῦ ἐκπεπτωκότος τῆς ἀληθείας.

„Ἄρχουσα[1]) ἐν χώραις." Τί δεῖ λέγειν καὶ περὶ τοῦ, ὅτι ἄρξασα χωρῶν, ἐπὶ τοσοῦτον δουλοῦται παρὰ τοῖς ἐχθροῖς, ὥστε καὶ φόρον ἀεὶ αὐτὴν ἐπιτελεῖν τοῖς κακοῖς δεσπόταις, ἃ ἂν ἐκεῖνοι προστάττουσιν; Προστάττουσι δὲ χρηστὸν οὐδέν. Καὶ τάχα καθ' ἕκαστον ὧν πταίει ἐνθάδε, φόρον τινὰ τελεῖ τῷ Ναβουχοδονόσορ, ὃς ἑρμηνεύεται ἐγκαθισμὸς καὶ ἐπίγνωσις συνοχῆς· οὐ μόνον δὲ τῷ Ναβουχοδονόσορ, ἀλλὰ καὶ σατράπαις αὐτοῦ.

„Κλαίουσα[2]) ἔκλαυσεν ἐν νυκτί." Ἐπὶ μὲν τοῦ πρώτου θρήνου τοῦ Ἄλεφ ἀρξαμένου, τὴν λέξιν σῶσαι δεδυνήμεθα· ἐπὶ δὲ τούτου τί ἂν τις εἴποι, λεγομένης πόλεως κεκλαυκέναι ἐν νυκτὶ, ὥστε τὰ δάκρυα εἶναι ἐπὶ τῶν σιαγόνων αὐτῆς; Εἰ μὴ ἄρα τοὺς ἐνοικοῦντάς τις ἐρεῖ πόλιν ὀνομαζομένους τοὺς καὶ φόρον τελοῦντας, καὶ κεκλαυκέναι ὑπομνησθέντας ἐξ οἵας εἰρήνης καὶ ἐλευθερίας εἰς ὅσην δουλείαν καὶ ταπείνωσιν ἐληλύθασιν. Πῶς οὖν διηγησόμεθα καὶ τὸ „ἐν[3]) νυκτί;" Ἢ ὅτι ἐν τῷ καιρῷ τῆς κοινῆς ἁπάντων ἀνθρώπων ἀναπαύσεως ἡ πόλις ὑπομιμνησκομένη τῶν συμφορῶν, τουτέστιν οἱ τὴν πόλιν οἰκοῦντες, οὐκ ἀναπαυόμενοι ἔκλαιον, κρουνηδὸν τῶν δακρύων καταῤῥεόντων ἐπὶ τῶν σιαγόνων αὐτῶν; Ἐπετείνετο δὲ μάλιστα αὐτοῖς ὁ κλαυθμὸς, καὶ ἐπέῤῥει τὰ δάκρυα οὐχ ὑπάρχοντος οὐδενὸς παραμυθουμένου αὐτοὺς ἀπὸ τοσούτων ἀγαπώντων, παντός τε τοῦ φιλοῦντος ἀθετοῦντος τὴν φιλίαν τὴν πρὸς αὐτὴν, καὶ μεταβεβληκότος εἰς ἔχθραν. Τίνες οὖν, ὡς πρὸς τὴν λέξιν, οἱ ἀγαπῶντες αὐτὴν πρότερον, ἀφ' ὧν οὐδεὶς ὑπῆρχεν παραμυθησόμενος αὐτήν; Τάχα αἱ λοιπαὶ τῆς Ἰουδαίας πόλεις. Διὰ τοῦτο δὲ ἴσως

---

[1]) Thren. I, 1. [2]) Thren. I, 2.
[3]) Cfr. Thren. I, 2.

ἀγαπῶσαι τὴν μητρόπολιν, ἐν καιρῷ περιστάσεως οὐ παρεκάλουν. Καὶ μετ᾽ ὀλίγα· Ταῦτα μὲν ὡς πρὸς τὸ ῥητόν. Ἐὰν δὲ ὁ λόγος, ὡς ἐν τοῖς πρὸ τούτων παρεστήσαμεν, Ἱερουσαλὴμ λέγῃ τὴν τελείαν ψυχὴν, αὐτὴ ἂν κλαίειν λέγοιτο, ἐκπεσοῦσα τῆς οἰκείας χώρας ἐν συγχύσει γενομένη, καὶ κατάστασιν ἔχειν ἐναντίαν τῷ γελᾷν γέλωτα τὸν ἀπὸ χαρᾶς καὶ ἱλαρότητος, ὃν ὁ κύριος ἡμῶν ἐπαγγέλλεται ὑπάρξειν τοῖς τὸν μακαριζόμενον κλαύσασι φάσκων· „μακάριοι [1]) οἱ κλαίοντες νῦν, ὅτι γελάσονται.“ Καὶ ἐν τῷ Ἰὼβ δέ· „ἀληθινὸν, [2]) φησὶ, στόμα ἐμπλήσει γέλωτος.“ Τάχα δὲ διὰ τοῦτο καὶ εἷς τῶν πατριάρχων γέλως λέγεται. [3]) Ὁ τοίνυν στενάζων, διὰ τὸ εἶναι ἐν τῷ σκήνει, ὥσπερ ὁ ἀπόστολος δεδήλωκεν εἰπών· „καὶ [4]) γὰρ οἱ ὄντες ἐν τῷ σκήνει στενάζομεν βαρούμενοι·“ τὸν ἐν ἐπαγγελίᾳ γέλωτα ποθῶν καὶ τὴν θείαν ἱλαρότητα, κλαυθμὸν κλαίει τροφιμώτατον, καὶ ὠφελοῦντα τὴν ψυχήν.

„Ἀπὸ [5]) πάντων τῶν ἀγαπώντων αὐτήν.“ Οἰόμεθα γὰρ τὸ μὲν ἀγαπᾷν θειότερον εἶναι, καὶ ἵν᾽ οὕτως εἴπω, πνευματικόν· τὸ δὲ φιλεῖν σωματικὸν, καὶ ἀνθρωπικώτερον. Τάχα δὲ οὐδενὸς φαῦλον παρατηρητέον ἀγαπῶντος· ὅτι περὶ μὲν τῶν κρειττόνων φησί· „οὐχ [6]) ὑπάρχει παρακαλῶν αὐτὴν ἀπὸ πάντων τῶν ἀγαπώντων αὐτήν·“ περὶ δὲ τῶν ἐλαττόνων· „πάντες [7]) οἱ φιλοῦντες αὐτὴν, ἠθέτησαν αὐτὴν, ἐγένοντο αὐτῇ εἰς ἐχθρούς.“ Οἱ μὲν γὰρ ὑποδεέστεροι καὶ ἠθέτησαν αὐτὴν, καὶ ἐγένοντο αὐτῇ ἐχθροί· οἱ δὲ κρείττονες μόνον οὐ παρεκάλεσαν.

„Μετῳκίσθη [8]) Ἰουδαία ἀπὸ ταπεινώσεως.“ Πρὸς μὲν τὸ ῥητὸν τοιοῦτος ἂν εἴη ὁ νοῦς· τὸν ἴδιον τόπον

---

1) Cfr. Luc. VI, 21. 2) Cfr. Job. VIII, 21.
3) Cfr. Genes. XXI, 6. 4) II Cor. V, 4.
5) Thren. I, 2. 6) Thren. I, 2.
7) Cfr. Thren. I, 2. 8) Thren. I, 3.

ἡ Ἰουδαία ἤμειψεν, αἰτίων τούτων γινομένων αὐτῇ τῆς ταπεινώσεως αὐτῆς, ἣν τεταπείνωται ἁμαρτοῦσα, καὶ τὸ ἀνάστημα καὶ τὸ ἐγηγερμένον, ὃ πρότερον εἶχεν ἐν θεοσεβείᾳ ὑπάρχουσα, καταλιποῦσα, ἔτι δὲ καὶ τῆς πολλῆς δουλείας αὐτῆς, ἣν δεδούλωτο ὑποτεταγμένη τοῖς πάθεσι. Μετοικισθεῖσα δὲ ἐν ἔθνεσιν ἱδρύνθη, ἔνθα εὑρεῖν ἀνάπαυσιν οὐ δεδύνηται, πάντων τῶν ἐχθρῶν καταδιωκόντων αὐτὴν, καταλαβόντων, καὶ κατακεκρατηκότων αὐτῆς γενομένης παρὰ τοῖς ἔθνεσιν, οἳ ἔθλιβον αὐτήν.

„Ὁδοὶ[1]) Σιὼν πενθοῦσι, διὰ τὸ μὴ εἶναι ἐρχομένους ἐν ἑορτῇ.“ Ὁ πρὸς τὸ ῥητὸν νοῦς οὗτός ἐστιν· Τοῦ νόμου λέγοντος· „τρὶς[2]) τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρσενικόν σου ἐνώπιον κυρίου τοῦ θεοῦ σου·“ ἔσπευδον οἱ ἀπὸ τοῦ λαοῦ, μετὰ οἰκοδομηθῆναι τὸν ναὸν ἐν Σιὼν ἀπὸ τοῦ χρόνου Σολομῶντος, ἐπιτελεῖν τὸ προστεταγμένον· καὶ κύκλῳ τῆς Ἱερουσαλὴμ τυγχανουσῶν τῶν πόλεων τῆς Ἰουδαίας, πάντοθεν ὁδοὶ ἦσαν φέρουσαι ἐπὶ τὴν Σιών. Ταύτας οὖν ὁ προφήτης διὰ τὴν αἰχμαλωσίαν φησὶ πενθεῖν σκυθρωπαζούσας, καὶ ἐν πάσῃ ἐρημίᾳ ὑπαρχούσας καὶ ἐν ἐκείνοις τοῖς καιροῖς, ὅτε πολλὴ εὐφροσύνη καὶ ἱλαρότης ἦν ἐν αὐτοῖς, σπευδόντων ἐπὶ ἑορτὴν τῶν ἁπανταχόθεν Ἰουδαίων ἐπὶ τὸ Σιὼν ὄρος. Πολλῶν δὲ οὐσῶν τῶν πυλῶν τῶν οἰκοδομηθεισῶν ἐν Σιὼν ἐκ πάντων τῶν κλιμάτων, φησὶν ὁ λόγος πάσας ἠφανίσθαι, καὶ τοὺς ἱερεῖς στενάζειν, δηλονότι τὰ ἱερατικὰ ἔργα τὰ κατὰ τὰς ἑορτὰς, καὶ τὰς ἄλλας ἡμέρας οὐ δυναμένους ἐπιτελεῖν, ἤτοι τῷ αἰχμαλωτεῖσθαι, ἢ τῷ μηδένα εἶναι τὸν προσιόντα αὐτοῖς, καὶ τὰς λειτουργείας τὰς ἱερατικὰς ἀπαιτοῦντα. Ἀλλὰ καὶ αἱ παρθένοι, φησὶ, τῆς Σιὼν ἀγόμεναί εἰσι, δῆλον δὲ ὅτι ὑπὸ τῶν κεκρατηκότων πολεμίων.

„Τοῦ αὐτοῦ.“ Πρὸς δὲ διάνοιαν, τῆς σκοπευτικῆς

---

[1]) Thren. I, 4. [2]) Exod. XXIII, 17.

καὶ θεωρητικῆς δυνάμεως Σιὼν καλουμένης πολλαὶ ὁδοί εἰσι τῶν ποικίλων δογμάτων, μυστικῶν τε καὶ φυσικῶν καὶ ἠθικῶν, τάχα δὲ καὶ λογικῶν, αἱ φέρουσαι ἐπὶ τὴν κατανόησιν καὶ θέαν τῶν προκειμένων. Ἐπὰν οὖν τις τὸ τούτων ἀσκητικὸν ἀπολέσας συγχυθῇ, πᾶσαι αὗται αἱ ὁδοὶ πενθοῦσι οὐχ ὁδευόμεναι· πανηγύρεως ὑπαρχούσης ταῖς προκειμέναις ὁδοῖς, ὅτε ὁδεύονται ἐξεταζόμεναι, καὶ ἵν' οὕτως εἴπω διαβαινόμεναι. Πενθοῦσι δὲ ὅτε ἐρημοῦνται, οὐκ ἐρευνώμεναι, οὐδὲ διεξοδευόμεναι διὰ τὸ ἀποπεπτωκέναι τοὺς ὁδεύοντας, καὶ αἰχμαλωτισθέντας ὑπὸ τῶν παθῶν περισπασθῆναι περὶ τὰ χείρονα.

„Καὶ[1]) αὕτη πικραινομένη ἐν ἑαυτῇ.“ Ἡ Σιὼν γλυκὺ μηδαμῶς ἔχουσά τι, ἐν πικρίᾳ διάγει καθ' ἑαυτήν. Οὐ ληπτέον γὰρ τό· „πικραινομένη·“ νῦν ἐπί τινος εἴδους ὀργῆς.

„Ἐγένοντο[2]) οἱ θλίβοντες αὐτὴν εἰς κεφαλήν.“ Ἡ τῆς λέξεως σαφήνεια τοιαύτη τίς ἐστιν. Ἔθλιβον τὴν Ἰουδαίαν χώραν, ἢ θλίβειν γε ἤθελόν τινες πρὸ τῶν τῆς αἰχμαλωσίας χρόνων, ἀλλ' οὐκ ἐκράτουν ὑπερασπίζοντος τοῦ θεοῦ τῶν Ἰουδαίων, ὅτε παρεῖχον ἑαυτοὺς ἐκεῖνοι βοηθείας ἀξίους. Ὅτε δὲ ἥμαρτον, καὶ πρὸς τῷ μὴ ἀκούειν τῶν προφητῶν, ἔτι καὶ ἀνῄρουν αὐτοὺς οἱ υἱοὶ Ἰσραὴλ, τότε παρεδόθησαν τοῖς θλίβουσιν ὑποχείριοι, ὥστε τοὺς ἐχθροὺς αὐτῶν γενέσθαι εἰς κεφαλὴν, τουτέστιν, ὡς Σύμμαχος ἡρμήνευσεν, ἄρχοντας. Ἕτεροι δὲ τάχα παρὰ τοὺς θλίβοντας οἱ ἐχθροὶ ὄντες ἢ τῇ ἐπινοίᾳ, ἢ τῇ ὑποστάσει, ἐν εὐθηνίᾳ ἐτύγχανον, ὑποχειρίων τοῖς θλίβουσι γενομένων τῶν διὰ τὰ ἁμαρτήματα ἐγκαταλελειμμένων, τοῦ κυρίου ταπεινώσαντος διὰ τὸ πλῆθος τῶν ἀσεβημάτων τοὺς παρανενομηκότας, ἐπὶ τοσοῦτόν γε τοῦτο ποιήσαντος, ὡς μηδὲ τοῖς νηπίοις αὐτῶν ἔλεον καταλειφθῆναι, ἀλλὰ πορευθῆναι

---

[1]) Thren. I, 4. [2]) Thren. I, 5.

αὐτὰ ἐν αἰχμαλωσίᾳ ἐλαυνόμενα ὑπὸ παντὸς τοῦ θλίβοντος.

„Ὅτι[1]) κύριος ἐταπείνωσεν." Ἀρξάντων τε καὶ εὐφρανθέντων τῷ τὸν κύριον διὰ τὸ πλῆθος τῶν ἀσεβημάτων εἰς ταπείνωσιν παραδεδωκέναι τοὺς τὰς ἐν τοῖς ἁγίοις λόγοις συνθήκας πρὸς αὐτὸν οὐ τετηρηκότας.

„Τοῦ[2]) αὐτοῦ." „Δικαίως[3]) τὰ δίκαια διώξεις." Τίς γὰρ τὸ δίκαιον οὐ δικαίως διώκει; Διαλαβόντες δὲ ἐκεῖνο, εὐχερῶς καὶ ἐπὶ τοῦτο μετελευσόμεθα, ὅτι ἔστι δικαίως τὸ ἄδικον διώκειν. Ἐξήγησις μὲν τοῦ δικαίως τὸ δίκαιον διώκειν αὕτη, ἐπὰν καὶ τὸ πραττόμενον καθῆκον ᾖ, καὶ ὑγιεῖ διαθέσει ἐνεργῆται· ὡς εἴ τις σωφροσύνην δι' οὐδὲν ἄλλο ἢ δι' αὐτὴν κατορθῶσαι, καθάπερ Ἰωσὴφ ἀναγέγραπται πεποιηκέναι· τοῦ δὲ ἀδίκως τὸ δίκαιον διώκειν, ἡ σαφήνειά ἐστι τοιαύτη, ἐπὰν τὸ καθῆκον μέν τις ἐπιτελῇ, προθέσει δὲ μοχθηρᾷ, ὧν εἴ τις δόξαν τὴν παρὰ ἀνθρώπων θηρώμενος κοινωνήσῃ τῶν ὑπαρχόντων πένησιν· ὅπερ ἀπαγορεύων ὁ σωτὴρ φησιν· „ἐὰν[4]) ποιῇς ἐλεημοσύνην, μὴ σαλπίσῃς ἔμπροσθέν σου, ὥσπερ οἱ ὑποκριταὶ ποιοῦσιν ἐν ταῖς συναγωγαῖς, καὶ ἐν ταῖς ῥύμαις, ὅπως δοξασθῶσιν ὑπὸ τῶν ἀνθρώπων." Τὸ δὲ δικαίως τὸ ἄδικον ποιεῖν, νοηθείη ἄν, ὅταν προθέσει τὰ κρείττονα ποιεῖν τις προελόμενος, παρ' ἄγνοιαν τοῦ καλοῦ πράττῃ τὰ χείρονα· ὁποῖός ποτε γέγονε Παῦλος προδιδοὺς τὰς ἐκκλησίας κατὰ ζῆλον θεοσεβείας. Ἀδίκως δὲ τὸ ἄδικον, ὅταν καὶ τὸ πραττόμενον ἄδικον ᾖ, καὶ ἡ προαίρεσις κακοποιητική.

---

[1]) Thren. I, 5.

[2]) Licet hoc fragmentum locum Deuteronomii explicet, verum tamen in Catenis Mss. dicitur depromtum e Commentariis Origenis in Threnos. Ruaeus.

[3]) Cfr. Deuteron. XVI, 20.

[4]) Matth. VI, 2.

„Καὶ[1]) ἐξῆλθε ἐκ θυγατρὸς Σιὼν πᾶσα ἡ εὐπρέπεια αὐτῆς.“ Τὰ τῆς λέξεως, ὅση δύναμις ἡμῖν σαφηνιστέον, ἐξετάζουσι τίς ἡ θυγάτηρ Σιὼν, καὶ ἐν τίνι ἔχουσα τὴν εὐπρέπειαν, τίς τε ἡ νομὴ, ἣν οὐκ ἔχουσιν οἱ ἄρχοντες τῆς θυγατρὸς Σιὼν δίκην κριῶν ἀπορούντων βοσκήσεως· καὶ πῶς οὗτοι ἐστερημένοι ἰσχύος πορεύονται κατὰ πρόσωπον τοῦ διώκοντος. Ἡγούμεθα δὲ τὸ μὲν ὄρος Σιὼν μητέρα εἶναι τῆς ἐν αὐτῇ συναγωγῆς θυγατρὸς σχηματιζούσης τῆς Σιών· τὴν δὲ εὐπρέπειαν τῆς θυγατρὸς Σιὼν, τὴν κτῆσιν τὴν ἐν πέπλοις αὐτῆς· ἥτις κτῆσις ἐν τῷ καιρῷ τῆς προνομῆς ληφθεῖσα ὑπὸ τῶν πολεμίων, ἐξῆλθεν ἀπὸ τούτων, ὧν ὁ κόσμος ἦν, τουτέστιν ἐξεκομίσθη· τοῦτο γὰρ ἐμφατικώτερον τῷ „ἐξῆλθεν“[2]) ὠνόμασεν. Τοὺς δὲ ἡγουμένους τῆς συναγωγῆς, διὰ τὸ ἐκκεῖσθαι τοὺς πολεμίους καὶ αἰχμαλωτίζειν, ἀποροῦντας τῶν συνηθῶν ὡμοιῶσθαι κριοῖς οὐχ εὑρίσκουσι τροφήν. Ὥσπερ μέντοι γε κριοὶ ἐλαυνόμενοι, μὴ τραφέντες ἀσθενῶς πορεύονται, τῇ ἀνάγκῃ τῶν ἐπιδιωκόντων εἴκοντες· οὕτως καὶ οἱ ἄρχοντες αἰχμάλωτοι γενόμενοι, ἀπαγόμενοι εἰς τὴν χώραν τῶν αἰχμαλωτισάντων, ἐπορεύοντο οὐκ ἐν ἰσχύϊ κατ᾽ ὄψιν τοῦ διώκοντος.

„Τοῦ αὐτοῦ κατὰ ἀναγωγήν.“ Πρὸς δὲ διάνοιαν ἡ τοιάδε ψυχὴ θυγάτηρ ἐστὶ Σιών· οἷον ὡς θυγάτηρ δικαιοσύνης ἡ δικαία, καὶ τέκνον σοφίας ἡ σοφή· οὕτω δὲ, ἐπεὶ Σιών ἐστι τὸ σκοπευτήριον, ἡ σκοπευτικὴ, καὶ θεωρητικῶς διεξοδικὴ θυγάτηρ Σιὼν ἂν λέγοιτο. Εὐπρέπειαν δὲ αὐτῆς καὶ ἀξίωμα τί ἂν ἄλλο δεόντως νομισαίμην ἢ τὸν πλοῦτον τῶν τῆς ἀληθείας μετὰ σοφίας τεθεωρημένων ἁγίων δογμάτων; Ἐπὰν οὖν ἀμελήσῃ τις, μετὰ τὸ κτήσασθαι ἀξίωμα καὶ εὐπρέπειαν τῆς τε τούτων συνοχῆς, καὶ τῆς τοῦ πλούτου τοῦ θείου αὐξήσεως ἀποῤῥεῖ, καὶ ἐξέρχεται τὰ τέως κόσμος αὐτῆς

---

[1]) Thren. I, 6. [2]) Cfr. Thren. I, 6.

τυγχάνοντα· ἄρχοντες δὲ οἱ ἡγησάμενοι τοῦ λόγου, καὶ χειραγωγήσαντες ἐπὶ τὴν κτῆσιν τῆς προειρημένης εὐπρεπείας, δίκην κριῶν τῶν ἡγησαμένων τῆς τῶν προβάτων ποίμνης οὐχ εὑρισκόντων νομὴν, ἐν σπάνει κατέστησαν καὶ αὐτοὶ, ἀνέντες τὴν προσοχὴν τῶν δυναμένων αὐτούς τε καὶ τὰ πρόβατα, ἵν᾽ οὕτως εἴπω, πιᾶναι. Διὰ τοῦτο ἀσθενήσαντες, καταληφθέντες ὑπὸ τοῦ διώκοντος, ὅστις ἐστὶν ὁ ἀντίδικος ἡμῶν διάβολος, ἔμπροσθεν αὐτοῦ πορεύονται ἐλαυνόμενοι ὅπη ἐκεῖνος ἄγειν ἐθέλοι. Ἐὰν μέντοι γε ἡ προειρημένη θυγάτηρ Σιὼν ἐπιμέλειαν ποιήσηται τοῦ κάλλους αὐτῆς, καὶ τῆς εὐπρεπείας αὐτῆς, καὶ πρόνοιαν τοῦ φρονεῖσθαι τὸ ἀξίωμα, φαυλίζει καὶ μυκτηρίζει τὸν Ἀσσυρίων βασιλέα, ὡς ἀπὸ τοῦ Ἡσαΐου μεμαθήκαμεν λέγοντος· „ἐφαύλισέν[1]) σε καὶ ἐμυκτήρισέν σε παρθένος θυγάτηρ Σιών.“

„Ἐμνήσθη[2]) Ἱερουσαλὴμ ἡμερῶν ταπεινώσεως αὐτῆς.“ Εἰς ἀνάμνησιν ἦλθεν τῶν οἰκείων ἁμαρτημάτων, δι᾽ ἃ γέγονεν εἰς αἰχμαλωσίαν. Ὁ γὰρ μιμνησκόμενος ἐν τῷ τὰ δεινὰ πάσχειν, οὐ τοῦ ἐνεστηκότος μιμνήσκεται, ἀλλὰ τοῦ παρεληλυθότος. Καὶ μετ᾽ ὀλίγα· Τοιαῦτα διαπορήσαντες ἐν τῷ τόπῳ, καὶ ζητοῦντες ὑπόμνησιν παρεληλυθυίας ταπεινώσεως αὐτῆς καὶ ἀπωσμῶν αὐτῆς, διὰ τὸ πεπτωκέναι τὸν λαὸν αὐτῆς εἰς χεῖρας ἐχθρῶν, καὶ τὰ ἐπιφερόμενα αὐτῇ συμβεβηκέναι, ὑποσκοποῦμεν μὴ ἄρα ἡ κυρίως ταπείνωσις οὐκ ἄλλη τίς ἐστιν ἢ τῆς ἁμαρτίας, ὥσπερ ὕψωσις ἡ κατόρθωσις, καὶ ἀπωσμὸς οὐδενὸς ἐνεργοῦντος γίνεται ἢ τῆς μοχθηρᾶς πράξεως. Ἱκανὴ γὰρ αὐτὴ ἀπώσασθαι ἀπὸ θεοῦ, καὶ παντὸς τοῦ κατὰ φύσιν καλλίστου. Ὅτε τοίνυν μεθύουσα ἡ Ἱερουσαλὴμ, τουτέστιν οἱ κατοικοῦντες αὐτὴν, καὶ ἐξεστηκυῖα ἀπὸ τῆς ἁμαρτίας ἐταπεινοῦτο, οὐκ ἐπῃσθάνετο τοῦ πταίσματος· ὅτε δὲ αἱ ἀνταποδόσεις αὐτῆς ἐληλύθασι διὰ τοῦ τὸν λαὸν αὐτῆς πεπτωκέναι

---

[1]) Jesai. XXXVII, 22. [2]) Thren. I, 7.

εἰς χεῖρας τοῦ θλίβοντος, οὐδενὸς αὐτῇ βοηθοῦντος, τότε ὑπεμνήσθη τῶν δι' ἃ ἔπασχεν· αἴτια ἐκεῖνα καταλαμβάνουσα εἶναι τοῦ τε πεπτωκέναι τὸν λαὸν αὐτῆς καὶ τοῦ ἀβοήθητον αὐτὴν καταλελεῖφθαι. Καὶ μετ' ὀλίγα· Ἐὰν δὲ τοιάδε ψυχὴ ἦν ἡ Ἱερουσαλὴμ, ἄξιον ζητῆσαι τὸν λαὸν αὐτῆς· οὗ πίπτοντος εἰς χεῖρας θλίβοντος, τῷ μὴ ὑπάρχειν βοηθὸν αὐτῇ, μιμνήσκεται τῶν τῆς ταπεινώσεως αὐτῆς ἡμερῶν· ἔτι δὲ καὶ τῶν ἰδίων οὓς ἀπώσθη ἀπωσμῶν· πρὸς τούτοις καὶ ἐπιθυμημάτων αὐτῆς, ὅσα ἦν ἐξ ἀρχαίων ἡμερῶν. Ὅρα δὲ, εἰ μὴ τὰ ἐν τῇ ἐπιστημονικῇ ψυχῇ θεωρήματα, ὁ λαός ἐστι τῆς Ἱερουσαλὴμ, ὅστις παρὰ τὸ ἐν ἀπροσεξίᾳ καὶ ἀμελείᾳ γεγονέναι τὴν ψυχὴν πίπτει καταβαλλόμενος ὑπὸ παντὸς τοῦ θλίβοντος. Ἀποῤῥεῖ γὰρ τὰ δόγματα τῶν ἀμελούντων, θλιβόμενα ὑπὸ τῶν τὴν χώραν ἰσχόντων ἁμαρτημάτων παρὰ τῷ τῶν κρειττόνων ἀμελοῦντι, οὐδαμῶς ἔχοντι τὴν ἐκ λόγου βοήθειαν.

„Ἁμαρτίαν[1]) ἥμαρτηκεν Ἱερουσαλήμ.“ Ὁ τῆς λέξεως νοῦς τοιοῦτός ἐστιν. Ἐπεὶ ἁμαρτίαν ἥμαρτεν Ἱερουσαλὴμ, ἐν σάλῳ γεγένηται καὶ ταραχῇ ἐπὶ τοσοῦτον, ὡς πάντας τοὺς πρότερον δοξάζοντας αὐτὴν, μεταβαλόντας ἠτιμακέναι τὴν τοιαύτην πόλιν, θεασαμένους αὐτῆς τὴν ἀσχημοσύνην. Αὐτὴ δὲ ἐφ' οἷς πέπονθεν διὰ τὰ ἁμαρτήματα, σάλῳ καὶ ἀτιμίᾳ τῇ ἀπὸ τῶν δοξαζόντων περιπεσοῦσα, στενάζουσα, οὐκέτι εἰς τὸ ἔμπροσθεν ἐλήλυθεν τῶν ἁμαρτημάτων, ἀλλὰ μειώσας αὐτὰ ὀπίσω ἀνακεχώρηκεν. Καὶ μετ' ὀλίγα· Ἐὰν δὲ Ἱερουσαλὴμ ἡ τοιάδε ψυχὴ λέγηται, ἐντρεχής τις καὶ διορατικὴ καὶ τῆς τοῦ θεοῦ εἰρήνης τῆς ὑπερεχούσης πάντα νοῦν κατανοητικὴ, ἐπεὶ δυνατὸν παρὰ πολλὰς αἰτίας καὶ ταύτην ἁμαρτεῖν, δηλοῦται τὸ εἰς σάλον αὐτὴν μεταπεπτωκέναι ἀποστᾶσαν τῶν καλῶν καὶ τοῖς χείροσι γεγενημένην. Πᾶς δὲ ὁ τῆς ἀρετῆς ἐκ-

[1]) Thren. I, 8.

πεσὼν καὶ τῇ κακίᾳ συμβιοὺς, ἐν σάλῳ τυγχάνειν ὑγιῶς λέγεται.

„Καὶ[1]) ἀπεστράφη εἰς τὰ ὀπίσω." Δηλοῖ τὴν ἀνακοπὴν τῶν ἁμαρτημάτων τῆς Ἱερουσαλὴμ, οὐκέτι τοῖς ἔμπροσθεν ἐπεκτεινομένης τῶν πταισμάτων, οὐδὲ ἐν τῇ νομῇ τῶν ἁμαρτημάτων γινομένης, ἀλλ' ἀποστρεφομένης εἰς τὰ ὀπίσω ἐπὶ τῷ ἰδίῳ (καλῷ).

„Ἀκαθαρσία[2]) αὐτῆς πρὸ ποδῶν αὐτῆς." Κατὰ μὲν τὴν σωματικὴν διήγησιν, τὸ λεγόμενον περὶ τῆς Ἱερουσαλὴμ νῦν τοιοῦτόν ἐστιν. Ἡ ἀκαθαρσία Ἱερουσαλήμ. Τίνος δὲ ἐμπόδιον, ἡμῖν καταλέλοιπεν νοεῖν ὁ προφήτης. Τάχα οὖν δηλοῖ, ὅτι κωλυτική ἐστι τῆς πορείας αὐτῆς ἡ ἀκαθαρσία. Ἀλλὰ καὶ τοιάδε τις οὖσα δηλοῖ, ὅτι Ἱερουσαλὴμ τῶν ἐσχάτων αὐτῆς οὐκ ἐμνημόνευσεν. Ταῦτα δὲ ὁ ἔχων πρὸ ὀφθαλμῶν, καὶ ὁρῶν τί διὰ τὰ ἁμαρτήματα ἀπαντήσεται, οὐχ ἁμαρτήσεται. Διὰ ταύτην τοίνυν τὴν ἀκαθαρσίαν ἐμπόδιον αὐτῇ· διὰ τὸ μὴ μνημονεύειν αὐτὴν τῶν ἐσχάτων αὐτῆς, τὰ θαυμαστὰ αὐτῆς τὰ μεγάλα, ἅτινα εἶχεν ὅτε ἀξία τοῦ ἐπισκοπεῖσθαι ἐτύγχανε, κατεβίβασε καὶ εἰς ταπεινότητα ἤνεγκε, πρότερον ὑπέρογκα ὄντα καὶ μείζονα παντὸς ἐπαίνου. Ἀλλὰ καὶ μετὰ ταῦτα πάντα οὐκ ἦν ὁ παραμυθούμενος τὴν τὰ μέγιστα αὐτῆς καταβιβάσασαν. Ἐπὶ τούτοις δὲ κατανόησον τὴν ἐμοῦ τοῦ λέγοντος ταπείνωσιν,[3]) κύριε, ἐπειδήπερ ὁ ἐχθρὸς ἐπὶ τοῖς γενομένοις τῇ πατρίδι μου μεγαλύνεται. Καὶ μετ' ὀλίγα· Ζητητέον τοίνυν, κατὰ τοὺς τῆς ἀναγωγῆς νόμους, εἰ δυνατὸν ἔν τινι τυγχάνειν ἀκαθαρσίαν οὐκ αἰτίῳ ταύτης ὄντι. Εἴδωμεν δὲ καὶ τὰ πρῶτα νοητὰ τοῦ θρήνου. Ἡ τοιάδε ψυχὴ ἐκπεσοῦσα, πάντως καὶ ἐν ἀκαθαρσίᾳ ἐστὶν, ἥτις ἀκαθαρσία κωλύει τὴν ἁγίαν ὁδὸν ὁδεύειν. Καὶ ὥσπερ τὰ ὑποδήματα κελεύεται ὑπὸ θεοῦ ὑπολύσασθαι ἁγίῳ

---

[1]) Thren. I, 8. [2]) Thren. I, 9.
[3]) Cfr. Thren. I, 9.

τόπῳ ἐπιβαίνων ὁ ἱερὸς Μωσῆς, καὶ ὁ διάδοχος αὐτοῦ Ἰησοῦς οὐ καθηκόντως περίκειται νεκρὰν δορὰν ἐν ἱερῷ τόπῳ τοὺς πόδας· οὕτως εἰ μέλλει τις ὁδεύειν ἀνεμποδίστως, τάχα οὐ μόνον ὑπολύσασθαι, ἀλλὰ καὶ ἀποπλύνασθαι ὀφείλει τὴν ἀκαθαρσίαν τὴν γενομένην ἀπὸ τοῦ χνοῦ περὶ τοὺς πόδας. Καὶ οἰόμεθά γε τούτου σύμβολον εἶναι τὸ τὸν σωτῆρα βάλλοντα ὕδωρ εἰς τὸν νιπτῆρα πεπλυκέναι τοὺς πόδας τῶν μαθητῶν, λέγοντα τῷ μηδέπω συνιέντι τὸ μυστήριον, καὶ διὰ τοῦτο κωλύοντι Πέτρῳ· „ἐὰν[1]) οὐ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ·“ καί· „ὃ[2]) ἐγὼ ποιῶ, σὺ οὐκ οἶδας ἄρτι, γνώσῃ δὲ μετὰ ταῦτα.“ Οὐκοῦν δεήσει περιαιρῆσαι περὶ τοὺς, ἵν' οὕτως εἴπω, πόδας τῆς ψυχῆς ἀκαθαρσίαν, καὶ δεηθῆναι τοῦ Ἰησοῦ, ὅπως αὐτὴν ἀποπλύνῃ, καὶ δυνηθῶμεν μέρος ἔχειν μετ' αὐτοῦ. Εἰ γὰρ παραμένοι αὐτῇ, ἐμπόδιόν ἐστιν τὴν κατὰ τὸν ὑγιῆ λόγον ἡμᾶς βαδίζειν ὁδὸν, τὸν σωτῆρα, τὸν εἰπόντα· „ἐγώ[3]) εἰμι ἡ ὁδός.“

„Οὐκ[4]) ἐμνήσθη ἐσχάτων αὐτῆς.“ Δῆλον δὲ, ὅτι ἡ μὲν ὑγιαίνουσα ψυχὴ, ἢ κἂν τοιαύτη γε εἶναι βουλομένη ταῦτα πράττει, οὐ τοσοῦτον τὸ παρὸν μόνον σκοποῦσα, ὅσον προορωμένη τί καὶ εἰς τὰ μέλλοντα ἐκ τῶν ἐπιτελουμένων ἀπαντηθήσεται. Καὶ ἐὰν μὲν χρηστοῦ τινος νομιζομένου ἐπὶ τοῦ παρόντος γίνεσθαι, προθεωρεῖ τὸ ἐν τῷ μέλλοντι πικρὸν, παραπεμψαμένη τὸ δοκοῦν εἶναι ἡδὺ, τὸ ἐναντίον πράττει ὑπὲρ τοῦ μὴ μετὰ ταῦτα χαλεπῷ τινι περιπεσεῖν. Ἐὰν δὲ ἐπιπόνου τυγχάνοντος τοῦ παρόντος, ἀγαθαὶ ἐλπίδες διαδέχονται τὸ φαινόμενον σκληρὸν, ἑκουσίως αὐτὴν ἐπιδώσει τῇ τραχύτητι τοῦ δόξαντος ἐνεῖναι δεινοῦ παρά τισιν, ἐπὶ τῷ τυχεῖν τῶν διὰ τὸ ὑπομεμενηκέναι ταῦτα διαδεχομένων γλυκέων τὰ σκληρά.

---

[1]) Ev. Joann. XIII, 8. [2]) Ev. Joann. XIII, 7.
[3]) Ev. Joann. XIV, 6. [4]) Thren. I, 6.

„Οὐκ[1]) ἔστιν ὁ παρακαλῶν αὐτήν.“ Ταῦτα δὲ πάντα, φησὶ, παθοῦσα ἡ τροπικώτερον καλουμένη Ἱερουσαλὴμ, οὐδὲ τοῦ παραμυθουμένου εὐπόρησεν· ἀποστραφεῖσα γὰρ τὸν ἐν αὐτῇ λόγον, καὶ ὅλη τοῦ πάθους γεγενημένη, τὸν βοηθὸν ἀπολώλεκεν, τὸν ἀεὶ κατὰ τῶν πόνων ὁπλίζοντα καὶ τῶν νομιζομένων δεινῶν τὴν προσήκουσαν αὐτῇ διάθεσιν. Ἐπὶ τούτοις δ' ἐμοῦ τοῦ πολίτου τὴν ταπείνωσιν ἴδε· καὶ ὡσὰν λέγοι συγγενὴς ψυχῇ· τὸ τοῦ πολίτου μου πάθος, δι' ἣν ἐδιδάχθην φιλανθρωπίαν, ἐμή ἐστι συμφορά. Κατανόησον οὖν, κύριε, καὶ μὴ τέλεον καταλείπῃς τὴν τὰ προειρημένα πεπονθυῖαν· μὴ ὑπερίδῃς τὸν ἐχθρὸν αὐτῆς, λέγω δὲ τὴν κακίαν, μεγαλυνθεῖσαν καὶ κεχυμένην κατ' αὐτῆς. Δύναται δὲ τροπικώτερον λέγεσθαι τό· „ἴδε,[2]) κύριε, τὴν ταπείνωσίν μου·“ ὑπὸ τοῦ ἐνυπάρχοντος τῇ ψυχῇ λόγου, ἀτιμασθέντος καὶ τεταπεινωμένου, καὶ, ἵν' οὕτως εἴπω, τὸ ἴδιον βασίλειον ἀπολωλεκότος.

„Χεῖρα[3]) αὐτοῦ ἐξεπέτασεν ὁ θλίβων ἐπὶ τὰ ἐπιθυμήματα αὐτῆς.“ Ἐπιθυμήματα τοίνυν τῆς Ἱερουσαλὴμ νοητέον τὰ ἐν τῷ ναῷ, καὶ ἅγια τῶν ἁγίων ἀποκείμενα, εἰς τὴν ἱερατικὴν λειτουργίαν εὔθετα καὶ τὰ ἄλλως παρὰ τὸ ἐναποκεῖσθαι τῷ ναῷ θεῖα εἶναι πεπιστευμένα, οἷον, τὴν λυχνίαν τὴν χρυσῆν, καὶ τὰ λοιπά. Πεπεισμένοι γὰρ ἀπὸ τοῦ λαοῦ ταῦτα εἰς δόξαν θεοῦ ἐναποκεῖσθαι τῷ ναῷ, πάντων προέκριναν αὐτὰ ἐπιθυμοῦντες αὐτοί τι παθεῖν μᾶλλον ὑπὸ τῶν πολεμίων χαλεπὸν ἢ τούτων ὑποχείριόν τι γενέσθαι τοῖς ἐχθροῖς. Τὸ δὲ ἁγίασμα ἔθος τοὺς ἐκ περιτομῆς τὸν ναὸν καλεῖν.

„Εἶδε[4]) γὰρ ἔθνη εἰσελθόντα εἰς τὸ ἁγίασμα.“ Παραδοξότατον δέ τι πέπονθεν ἡ Ἱερουσαλὴμ παρὰ τὸν καιρὸν τῆς αἰχμαλωσίας. Ἐθεάσατο γὰρ ἔθνη, ἃ ἐνε-

---

[1]) Thren. I, 9. [2]) Thren. I, 9.
[3]) Thren. I, 10. [4]) Thren. I, 10.

τείλατο θεὸς εἰς τὴν ἐκκλησίαν μὴ εἰσέρχεσθαι, πατοῦντα ἔνθα οὐδὲ τοῖς Ἰσραηλίταις εἰσελθεῖν θέμις, μόνων ἀξιωθέντων τῶν ἱερέων ἐν ἐκείνῳ μετὰ τῶν οὐ τυχόντων ἁγνισμῶν γίνεσθαι τῷ χωρίῳ. Ἔφθασαν δὲ οἱ πολέμιοι, καὶ μέχρι τῶν ἀβάτων εἰσελθόντες εἰς τόπον, ὃν μόγις μετὰ πολλῆς ἁγιαστείας ὁ ἀρχιερεὺς ἅπαξ τοῦ ἐνιαυτοῦ εἰσῄει. Καὶ μετ' ὀλίγα· Ἐὰν δὲ Ἱερουσαλὴμ, καθάπερ προπαρεστήσαμεν, ἡ τοιάδε ψυχὴ τυγχάνῃ, νοητέον κατὰ φύσιν αὐτῆς ἀγαθὰ κόσμον αὐτῆς ὄντα, δι' ὧν ἐθεράπευε τὸ θεῖον, ἐναποκείμενα τοῖς ἀβάτοις αὐτῆς παντί τῳ, πλὴν τοῦ ἀρχιερέως λόγου, ἐπιθυμήματα αὐτῆς καλεῖσθαι. Ἐπὶ πάντα δὲ ταῦτα ὁ ἐν τῷ παλαίειν κεκρατηκὼς ἐχθρὸς, θλίψας τὴν οὐ καλῶς ὑπ' αὐτῆς στρατευομένην, ἀλλ' ἀξίως ὑπὸ τῆς θείας βοηθείας ἐγκαταλελειμμένην, ἐκτείνας αὐτὸν διὰ τῆς εἰς τὰ μοχθηρὰ δραστηρίου δυνάμεως αὐτοῦ, εἰσέπεσε τῷ ἡγεμονικῷ, καὶ ἔρημον τῶν καλῶν καταλέλοιπεν τὴν ἀποστᾶσαν θεοῦ ψυχήν. Καὶ ἔθνη δὲ κατὰ τὸν τόπον, ἀλληγορητέον τὸν ὄχλον τῶν κακιῶν εἰσελθόντων εἰς τὸ δημιουργηθὲν ἡγεμονικὸν ἐπὶ τὸ εἶναι θεοῦ χωρητικὸν, καὶ ἀληθὲς ἁγίασμα τοῦ βουλομένου νῷ καθαρῷ ἐπαναπαύεσθαι· ἅπερ ἔθνη ἀπαγορεύει ὁ θεὸς παντελῶς εἰσιέναι εἰς τὴν ἐκκλησίαν. Τί γὰρ ἂν ἄλλο κυριώτερον ἀπαγορεύεσθαι νομίζομεν ἀπὸ θεοῦ εἰσέρχεσθαι εἰς ψυχὴν ἀριθμουμένην ἐν ἐκκλησίᾳ θεοῦ, ἢ τὰ ἔργα καὶ τὸ φρόνημα τῆς σαρκὸς, ἀληθῶς ἔθνη ἐχθρὰ ὄντα τοῦ θεοῦ; Ἡ[1]) γὰρ σὰρξ στρατεύεται κατὰ τοῦ πνεύματος διὰ τοῦ φρονήματος τῆς σαρκὸς ἐχθρᾶς οὔσης εἰς θεόν· „τῷ[2]) γὰρ νόμῳ τοῦ θεοῦ οὐχ ὑποτάσσεται· οὐ γὰρ δύναται.“

„Πᾶς[3]) ὁ λαὸς αὐτῆς καταστενάζοντες.“ Ἐστέναξαν διὰ λιμὸν, καὶ μικρᾶς ἕνεκα βρώσεως ψυχὴν ἐπι-

---

[1]) Cfr. Gal. V, 17. coll. Rom. VIII, 7.

[2]) Rom. VIII, 7. [3]) Thren. I, 11.

στρεφούσης ἐκλείπουσαν παρεῖχον τὰ τιμιώτατα. Πῶς δὲ τὰ προῤῥηθέντα ἐπιθυμήματα παρὰ τῶν πολεμίων ἀπενεχθέντα παρεῖχον εἰς ὠνὴν τροφῆς; Ἀλλ' ἐξέτεινε μὲν ὁ ἐχθρὸς ἐπὶ πάντα τὴν χεῖρα, κορεσθεὶς δὲ τῷ λαβεῖν ἅπερ ἤθελεν, τὰ λοιπὰ καταλέλοιπεν, ἀνθ' ὧν ἐπρίαντο τὴν τροφήν.

„Ἴδε,[1]) κύριε, καὶ ἐπίβλεψον.“ Εὐχὴ παρὰ τῆς Ἱερουσαλὴμ τό· „ἴδε,[2]) κύριε, τὴν ἐμὴν ἀτιμίαν“ ἀπολεσάσης τὸν κόσμον διὰ λιμόν. Μήποτε δὲ διάφορα τὰ ἐπιθυμήματα; Προηγουμένως μὲν τὰ προδεδηλωμένα, ἐφ' ἅπερ ὁ ἐχθρὸς ἐξέτεινε τὴν χεῖρα· δεύτερα δὲ τὰ ἑνὸς ἑκάστου τῶν ἀπὸ τοῦ λαοῦ· καὶ τὰ μὲν κοινὰ παρείληφεν, ἀντὶ δὲ τῶν ἰδικῶν ἕκαστος ὠνεῖτο τροφήν. Πρὸς δὲ ἀναγωγὴν, ὥσπερ Ἠσαῦ ἀπέδοτο τὰ πρωτοτόκια τροφῆς, ἧς ἐπώνυμος γέγονεν· ἑρμηνεύεται δὲ ἐρυθρὰ γῆ. Καὶ γὰρ ἐγένετο γήϊνος, καταφρονήσας μὲν τῶν πρωτοτοκίων, προηγούμενα δὲ ποιήσας τὰ γήϊνα, ἅπερ Ἰακὼβ ὡς ἀναγκαῖα μετήρχετο δευτέρῳ λόγῳ, διὰ τὸ τυγχάνειν ἐν σώματι· οὕτω καὶ Ἱερουσαλήμ. Ἀλλ' ὁ μὲν δίδωσι τῷ ἀξίῳ Ἰακὼβ τυχεῖν, ἅπερ εἶχεν ἐπιθυμήματα, εἰ καὶ μὴ ταῦτα προείλετο· ὁ δὲ λαὸς Ἱερουσαλὴμ δέδωκε μὲν καὶ αὐτὸς ἕνεκα βρώσεως, ἀλλ' οὐχὶ ἁγίου ταύτην κατασκευάσαντος, ἀλλὰ Βαβυλωνίων, οἵτινες ἐνυβρίζειν ἔμελλον τοῖς δοθεῖσιν ἐπιθυμήμασιν. Ὁ μὲν γὰρ Ἰακὼβ οἶδε κοσμῆσαι τὰ παρὰ Ἠσαῦ· οἱ δὲ Βαβυλώνιοι οὐ χρῶνται τοῖς δοθεῖσιν ἐπὶ ἰδίῳ καλῷ. Οὕτω καὶ ψυχὴ δι' ἀπορίαν τῶν ἀναγκαίων χρειῶν ἀποῤῥίπτει τὰ θεῖα μαθήματα τοῖς κατὰ περιεργίαν βουλομένοις ἐπὶ διαβολῇ καὶ χλεύῃ μαθεῖν.

„Ἐξ[3]) ὕψους αὐτοῦ ἀπέστειλε πῦρ.“ Τὸν ἐπὶ τῇ ἁλώσει δεδήλωκεν ἐμπρησμὸν τῶν ἰσχυροτάτων οἰκο-

---

[1]) Thren. I, 11. [2]) Cfr. Thren. I, 11.
[3]) Thren. I, 13.

δομημάτων ἀψάμενον, ἢ τὴν ἅλωσιν τῶν ὑπερεχόντων ἐν αὐτῇ πολιτῶν, ψυχῇ τε καὶ τοῖς ἐκτὸς οἱονεὶ πυρουμένων ταῖς συμφοραῖς. Δηλοῖ καὶ τῶν ὑποβεβηκότων τὴν σύλληψιν τὴν εἰς δουλείαν ὥσπερ ἐν ἄγρᾳ δικτύων, τῶν μὴ καλῶς χρησαμένων τῇ ἐλευθερίᾳ. Οὕτω γὰρ οὗτοι ἔμπροσθεν ἐπεκτεινόμενοι, τῶν ὄπισθεν ἐπελανθάνοντο· ἀπέστρεφον δὲ ἀπὸ δόξης εἰς ἀτιμίαν, ἀπὸ ἐλευθερίας εἰς δουλείαν, καὶ γεγόνασιν ἀντὶ ἐνδόξων ἠμαυρωμένοι, καὶ ἀφανεῖς ἐξ ἀτιμίας καὶ ὕβρεως· δι' ἅπερ εἰς διηνεκῆ πέπτωκε λύπην ἡ πόλις.

„Ἐγρηγορήθη[1]) ἐπὶ τὰ ἀσεβήματά μου· ἐν χερσὶν αὐτοῦ συνεπλάκησαν.“ Ἡ πρόνοια, φησὶν, ἐπὶ τοῖς ἐμοῖς ἀσεβήμασιν οὐ κεκοίμηται· θεὸς γὰρ ὥσπερ εἰς χεῖρας λαβὼν αὐτὰ, διὰ τῆς ἐξετάσεως τοῖς διὰ τὴν ἀνταπόδοσιν ἐνέπλεξεν ἔργοις· καὶ γέγονέ μοι ταῦτα καθάπερ ἐπὶ τραχήλου ζυγὸς, καὶ δουλείαν ἐπέθηκεν· ἣν γὰρ ἐδούλευσα τῷ Ναβουχοδονόσορ δουλείαν, τὰ ἐμά ἐστιν ἀσεβήματα· διόπερ ἄτονος γέγονα παραδοθεῖσα τούτοις, ὧν ὑποστῆναι τὴν δεσποτείαν οὐ δύναμαι. Καὶ μετ' ὀλίγα· Ὁ ζυγὸς αὐτοῦ κατὰ τοῦ τραχήλου μου. Δείκνυται δὲ διὰ τοῦ παρόντος ῥητοῦ τροπικώτερον δεῖν ἐκλαμβάνεσθαι τὰ ὡς περὶ παθῶν ἡμετέρων λεγόμενα περὶ τοῦ θεοῦ. Πῶς γὰρ ἂν ἄλλως νοηθείη τὰ τῆς Ἱερουσαλὴμ ἀσεβήματα τῇ τοῦ θεοῦ συμπεπλεγμένα χειρὶ, ἢ τροπικῶς; Οὐ γὰρ ἄν τις λέγοι καὶ ταῦτα σωματικῶς. Πῶς δὲ οὐκ ἄτοπον, τῆς μὲν Ἱερουσαλὴμ πόλεως οὔσης τὸν τράχηλον λαμβάνεσθαι τροπικῶς· τὰ δὲ θεοῦ λεγόμενα μέλη μὴ τὸν αὐτὸν ἀκούεσθαι τρόπον; Λεγέσθω δὲ τὰ νῦν ὡς ὑπὸ ψυχῆς εἰς ἀσέβειαν ὑπνωσάσης, ἐν τῷ ἀφηνιακέναι μὲν ἀπὸ τοῦ σωτηρίου ζυγοῦ τοῦ ὑγιοῦς λόγου, ὃν ὁ σωτὴρ ὀνομάζει χρηστὸν, ὑποδῦναι δὲ τὸν τῶν ἀσεβημάτων, δι' ὧν ἠτόνησεν ἀφεθεῖσα τῆς θείας ἐπισκοπῆς, καὶ παραδοθεῖσα

---

[1]) Thren. I, 14.

τῇ βασιλευούσῃ τῶν κακῶν ἁμαρτίᾳ, ἧς τοῖς θελήμασι διὰ τὸ ἀπεριόριστον καὶ ἄπειρον τῆς κακίας οὐ δύναται πάντῃ ὑπουργῆσαι, καὶ κόρον αὐτῇ παρασχεῖν. Ταπεινοῖ δὲ ὄντως ἡ ἁμαρτία, καὶ ἄγχει καὶ κάτω βλέπειν ποιεῖ· ζυγὸς δὲ καὶ τὸ συνειδὸς ἄγχον ἀεὶ καὶ τιτρῶσκον, καὶ ἀνανεύειν μὴ συγχωροῦν, καὶ πάσης ἀφαιρούμενον παῤῥησίας. Πάρεσιν δὲ, φησὶ, καὶ τῆς ἰσχύος, ᾗ μὴ καλῶς ἐχρησάμην, ἐποίησε, καὶ λύομαι τὰ συνέχοντά με θεωροῦσα κακά.

„Ἐξῆρε [1]) πάντας τοὺς ἰσχυρούς μου κύριος ἐν μέσῳ μου.“ Οὐκ ἐκ μέσου μου ἐξῆρεν αὐτούς· εἰ γὰρ καὶ ἀπεστερήμην αὐτῶν, ἀλλ' ἐξῆν εἰς ἕτερα καταχρήσασθαι· ἀλλ' ἐν μέσῳ μου παθεῖν αὐτοὺς κατεδίκασεν, δι' ἅπερ ἠσέβησα, καὶ πεπόνθασιν οἱ ἐκλεκτοί μου τὰ χαλεπώτατα, αὐτοῦ τοῦ κυρίου τὸν οἶνον τοῦ θυμοῦ αὐτοῦ ἐν ληνῷ πατήσαντος εἰς πλησμονὴν ἐμοὶ καὶ τῇ παρθένῳ τοῦ βασιλικωτάτου Ἰούδα. Λέγοι δ' ἂν ἰσχυροὺς μὲν τοὺς δυνατοὺς ἐν πολέμῳ, καὶ τῆς πατρίδος ὑπερασπίζοντας· ἐκλεκτοὺς δὲ τοὺς εὐγενεῖς, ἢ τοὺς σοφούς. Σαφηνίζει δὲ τό· „ληνὸν [2]) ἐπάτησεν·“ τὸ περὶ τῆς τῶν ἁμαρτωλῶν τιμωρίας ἐν ψαλμοῖς εἰρημένον· „ποτήριον [3]) ἐν χειρὶ κυρίου οἴνου ἀκράτου, πλῆρες κεράσματος,“ κλινόμενον ἐκ τοῦδέ τινος τοῦ κολαζομένου ἐπὶ τὸν κολαζόμενον, ἕως πίωσι πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς, τῆς τρυγὸς ὑπολειπομένης τοῖς ἁμαρτωλοτέροις ἔτι τούτων ὑπάρχουσιν, εἰς οὓς τελευταίους ὁ τρυγίας ἐκκενωθήσεται.

„Ληνὸν [4]) ἐπάτησε κύριος παρθένῳ θυγατρὶ Ἰούδα.“ Οὐ χαλεπὸν δὲ ἰδεῖν, πῶς ληνὸν ἐπάτησε κύριος παρθένῳ θυγατρὶ Ἰούδα· ἐπεὶ γὰρ ἃ σπείρει [5]) ἕκαστος, ταῦτα καὶ θερίσει. Τάχα δὲ καὶ ἃ γεωργεῖ, ταῦτα καὶ

---

[1]) Thren. I, 15. [2]) Thren. I, 15.
[3]) Psalm. LXXV, 8. (LXXIV.)
[4]) Thren. I, 15. [5]) Cfr. Gal. VI, 7.

τρυγᾷ. Ὁ μὲν οὖν κρείττονα οἶνον ποιήσας, εὐφρανθήσεται ἀπὸ τῶν ἰδίων γεννημάτων· ὁ δὲ γεωργήσας ἄμπελον Σοδόμων καὶ κλήματα Γομόῤῥας, καὶ καρποφορήσας σταφυλὴν χολῆς, καὶ βότρυν πικρίας, καὶ θυμὸν ἀσπίδων ἀνίατον, πάντων ὑπὸ κυρίου συναγομένων εἰς μίαν ληνὸν, πατουμένων τῶν κακῶν ἔργων αὐτοῦ, καὶ θλιβομένων, καὶ τοῖς τοιούτοις ἀκολούθως κάρποις πίεται ὑπὲρ τοῦ τὴν χολὴν ἐμέσαι, καὶ τὴν πικρίαν καὶ τὸν θυμόν. Καὶ πίεται, κατὰ μὲν τὸν Ἱερεμίαν,[1]) εἰς τὸ ἐξεμέσαι, κατὰ δὲ τὸν Ἡσαΐαν,[2]) εἰς τὸ ἐξεγερθῆναι καὶ ἐνδύσασθαι δόξαν τὴν συγγενῆ. Οὐ γὰρ μάτην ληνὸν πατεῖ κύριος, καὶ μάλιστα παρθένῳ θυγατρὶ Ἰούδα.

„Ὁ[3]) ὀφθαλμός μου κατήγαγεν ὕδωρ.“ Ἡ τοίνυν ψυχὴ πολλὰ παρὰ τοῦ κτίσαντος αὐτὴν λαβοῦσα δυνατά τε καὶ ἐκλεκτὰ χαρίσματα, τούτων διὰ κακίαν ἐστηρημένη, καὶ τίνουσα δίκας, ὃ πέπονθεν ὁμολογεῖ. Ὁ δὲ κληθεὶς εἰς τὸ συντριβῆναι καιρός ἐστιν ὁ τῆς ἀνταποδόσεως· ὅτε, κατὰ τὸν Ἰεζεκιὴλ,[4]) οὐ μνησθήσεται πάντων τῶν δικαιωμάτων ὧν πεποίηκεν ὁ δίκαιος, ἐν ἡμέρᾳ ἁμαρτίας αὐτοῦ. Πενθοῦσα δὲ τὰ συμβεβηκότα ὠφελεῖται, τῶν πενθούντων καὶ κλαιόντων ἐπαγγελίαν ἐχόντων τὴν παράκλησιν καὶ τὸν γέλωτα.

„Ὅτι[5]) ἐμακρύνθη ἀπ᾽ ἐμοῦ ὁ παρακαλῶν με, ὁ ἐπιστρέφων ψυχήν μου.“ Αἴτιον εἶναι τῶν ὀδυρμῶν ἔφη, τὸ μὴ εἶναι τὸν ἐπιστρέφοντα τὴν ψυχὴν αὐτῆς, ἤγουν τὸν ἀνακτώμενον κατὰ Σύμμαχον. Ἠφανίσθαι δὲ λέγει καὶ τοὺς υἱοὺς δυναμωθέντος τοῦ ἐχθροῦ, δι᾽ ὧν ἐξημάρτανον. Εὐσεβούντων γὰρ ἡμῶν οὐκ ἰσχύει· ἀσθενεῖ γὰρ προκοπτόντων, καὶ νεκροῦται τελειουμένων, καὶ ὑπὸ τοὺς πόδας συντρίβεται λεπτυνόμενος ὡς χνοῦς κατὰ πρόσωπον ἀνέμου, καὶ ὡς πηλὸς πλατειῶν λεπτυ-

---

[1]) Cfr. Jerem. XXV, 27.
[2]) Cfr. Jesai. XXI, 5. [3]) Thren. I, 16.
[4]) Ezech. XVIII, 22. [5]) Thren. I, 16.

νόμενος. Ἀναλόγως γὰρ ὧν ἁμαρτάνομεν, καὶ τρέφεται καὶ δύναμιν ἴσχει· τοῦ δὲ πλημμελεῖν πεπαυμένων, οἱονεὶ λιμῷ διαφθείρεται. Ἐκ δὲ τῶν ἐναντίων τὰς θείας δυνάμεις τὰ ἀγαθὰ μὲν πράττοντες ἡμῖν αὐτοῖς ἐνισχύομεν, καὶ διώκομεν ἁμαρτάνοντες. Διόπερ ὁ Σύμμαχος ἀντὶ τοῦ· „ἠφανισμένη·“ [1]) ἐξέδωκεν· „ἐρήμη.“ Λέγοι δ' ἂν ταῦτα ψυχὴ θεωρητικὴ τυγχάνουσα τοῦ λόγου τῆς ἀληθείας, καὶ διὰ ῥαθυμίαν τὸν εὐφραίνοντα ταύτην ἀπολέσασα λόγον, καὶ πάντας τοὺς καρποὺς υἱοὺς αὐτῆς χρηματίζοντας, διὰ τὸ κατ' αὐτῆς ἐχθρὰν τὴν κακίαν δεδυναμῶσθαι.

„Διεπέτασε [2]) Σιὼν χεῖρα αὐτῆς.“ Σιὼν φησι τὸ ὄρος, τὸν δὲ λαὸν Ἰακὼβ, τὴν δὲ μητρόπολιν Ἱερουσαλὴμ· ἐνετείλατο δὲ ὁ θεὸς τῷ Ἰακὼβ ἐντολὰς, δι' ἃς παραβαινομένας ὑπ' ἐχθρῶν ἐκυκλώθη· κατὰ δὲ Σύμμαχον, καὶ καθ' ἑτέραν ἔκδοσιν τῶν ἑβδομήκοντα „ἐνετείλατο [3]) κύριος κύκλῳ αὐτοῦ γενέσθαι τοὺς θλίβοντας αὐτὸν,“ δηλαδὴ ταῖς εἰς τὸ κακὸν τεταγμέναις δυνάμεσι.

„Ἐγένετο [4]) Ἱερουσαλὴμ εἰς ἀποκαθημένην.“ Τὸ τῆς Ἱερουσαλὴμ δι' ἁμαρτίας ἀκάθαρτον ὡς δι' ἀφέδρου δεδήλωκεν. Ἀνὰ μέσον δὲ λέγει ἢ τῆς Σιὼν, καὶ τοῦ Ἰακὼβ, ἢ ὅλου μὲν τοῦ ὄρους μέση· ἐν μέρει γὰρ αὐτοῦ ᾠκοδόμηται· ὅλου δὲ τοῦ λαοῦ νῦν τοῦτο σημαίνοντος Ἰακὼβ τὰ δύο καὶ δέκα σκῆπτρα. Διχῶς δὲ κατὰ λέξιν ἔστι λαβεῖν τὴν Σιὼν, καὶ τὴν Ἱερουσαλὴμ, ἢ τοὺς τόπους, ἢ τοὺς οἰκήτορας. Ἀλλ' εἰ μὲν τόπος ἦν ἡ Σιὼν, χεῖρας αὐτῆς τὰ ἔργα καὶ εἴ τι χειροποίητόν φησι διαπεπετασμένας καὶ οὐ συνεστραμμένας, οὐδὲ τὸ πρέπον ἔργον χερσὶ ποιουμένας, ὡς ἐν ἀγρῷ καὶ ἐρήμῳ τῇ χώρᾳ. Εἰ δὲ τοὺς ἐνοικοῦντας λέγει, χεῖρες ἂν εἶεν οἱ γεωργοὶ καὶ ἐργάται, μὴ συστέλλοντες εἰς ἔργα τὰς χεῖρας διὰ τὰ περιστάντα· εἰ δὲ τῆς Σιὼν

---

[1]) Cfr. Thren. I, 16. [2]) Thren. I, 17.
[3]) Thren. I, 17. [4]) Thren. I, 17.

χεῖρες τροπολογοῦνται, πόσῳ μᾶλλον τὰ κατὰ τὴν γραφὴν μέλη θεοῦ. Καὶ αὐτὸ δὲ τὸ ὄρος, ὡς εἰπεῖν, μετὰ τοῦ ἔθνους στενάζει, οὐκ ἔχον εἰς παραμυθίαν, οὐ θεὸν, οὐθ' ἅγιον ἄνδρα.

„Δίκαιός[1]) ἐστι κύριος.“ Στόμα κυρίου τοὺς προφήτας ἐκληπτέον, ὧν εἷς ὑπάρχων Ἠσαΐας ἔλεγε· „τὸ[2]) γὰρ στόμα κυρίου ἐλάλησε ταῦτα.“ Ἱερουσαλὴμ δὲ ὠνείδισται ὑπὸ τοῦ σωτῆρος, ὡς ἀποκτείνασα τοὺς προφήτας, καθὸ παρεπίκρανε τὸ στόμα κυρίου πόνοις αὐτοὺς πικροτάτοις ἐκδοῦσα. Ὁ δὲ τὸ αἷμα τῶν προφητῶν ἐκζητῶν θεὸς, ἀλγηδόσι ταῖς ἐκ πολέμων, καὶ πάλιν αἰχμαλωσίαις παραδίδωσιν αὐτῆς νεανίσκους τε καὶ παρθένους. Ἀνθ' ὧν οὖν πέπονθεν, ἐξομολογεῖται τοῖς ἄλλοις ἑαυτὴν παράδειγμα τούτοις παρέχουσα, πρὸς τὸ μὴ παθεῖν παραπλήσια τὴν τοῦ θεοῦ μαθόντας δικαιοσύνην.

„Παρθένοι[3]) μου καὶ νεανίσκοι μου.“ Μετὰ τὸ αἰσθητὸν, παρθένους νόει τοὺς ἐν ἀφθαρσίᾳ βιοῦντας, νεανίσκους δὲ τοὺς ἐν ἀρετῇ εὐδοκιμημένους. Πολλάκις γὰρ καὶ οἱ ἅγιοι τοῖς ὑπευθύνοις συμπάσχουσι.

„Ἐκάλεσα[4]) τοὺς ἐραστάς μου.“ Τοὺς ἐραστὰς, οἵτινές εἰσι, δεδήλωκεν Ἰεζεκιὴλ λέγων πρὸς Ἱερουσαλὴμ, ἣν Ὀλίβα καλεῖ· „τάδε[5]) λέγει κύριος. Ἰδοὺ, ἐξεγείρω τοὺς ἐραστάς σου ἐπὶ σὲ κύκλωθεν, υἱοὺς Βαβυλῶνος, καὶ πάντας τοὺς Χαλδαίους.“ Οὗτοι γὰρ πρότερον ὄντες φίλοι, κατὰ θείαν πρόνοιαν εἰς ἔχθραν μετέβαλον· ὃ δὴ πολλάκις ἐπὶ ἔρωτος γίνεται τρεπομένου πρὸς μῖσος. Λέγει γὰρ περὶ μὲν Σαμαρείας· „καὶ[6]) ἐξεπόρνευσεν ἡ Ὀελὰ ἀπ' ἐμοῦ, καὶ ἐπέθετο ἐπὶ τοὺς ἐραστὰς αὐτῆς τοὺς Ἀσσυρίους.“ Καὶ μετ' ὀλίγα·

---

[1]) Thren. I, 18. [2]) Jesai. I, 20.
[3]) Thren. I, 18. [4]) Thren. I, 19.
[5]) Cfr. Ezech. XXIII, 22. 23.
[6]) Ezech. XXIII, 5.

„διὰ[1]) τοῦτο παρέδωκεν αὐτὴν εἰς χεῖρας τῶν ἐραστῶν αὐτῆς, εἰς χεῖρας υἱῶν Ἀσσυρίων.“ Λέγει δὲ καὶ περὶ τῆς Ἱερουσαλὴμ· „καὶ[2]) ἴδεν ἡ ἀδελφὴ αὐτῆς Ὀλίβα· καὶ διέφθειρε τὴν ἐπίθεσιν αὐτῆς ὑπὲρ τὴν πορνείαν τῆς ἀδελφῆς αὐτῆς, καὶ ἐπὶ τοὺς υἱοὺς τῶν Ἀσσυρίων ἐπέθετο.

„Ἴδε,[3]) κύριε, ὅτι θλίβομαι.“ Ἐν μὲν οὖν τῇ προφητείᾳ ἀλγεῖ τὴν ψυχὴν ὡς πεισόμενος δεινότατα· ἐν δὲ τῷ παρόντι Θρήνῳ, ὡς ἤδη τούτων συμβεβηκότων, ἄχθεταί τε, καὶ δι' ἁμαρτίας ὁμολογεῖ τὴν χρηστότητα τοῦ θεοῦ πικροτάτην ἑαυτὴν καταστῆσαι, ὡς καὶ ἀτεκνωθῆναι τὴν πολύτεκνον· καὶ τὸ δεινότατον, πολεμίᾳ χειρί. Προσωποποιΐας δὲ οὔσης, οὐ δεῖ ζητεῖν πόλεως κοιλίαν τεκοῦσαν, καὶ καρδίαν λελυμένην.

„Ἀκούσατε[4]) δὴ, ὅτι στενάζω ἐγώ.“ Μερίζει τὸν λόγον Ἱερουσαλὴμ πρὸς τοὺς ἐχθροὺς, οὓς ἀκοῦσαι βούλεται, καὶ πρὸς τὸν θεόν. Ἀλλὰ τί παρακαλεῖ πρὸς ἀκοὴν τοὺς ἐχθρούς; Τί δέ φησι τῷ θεῷ περὶ αὐτῶν ὡς ἐχάρησαν; Μήποτε τοίνυν ἐπὶ τῷ τῆς Ἱερουσαλὴμ παραπτώματι γέγονεν ἡ σωτηρία τοῖς ἔθνεσιν, εἰς τὸ παραζηλῶσαι αὐτούς· καὶ ὅταν τὸ πλήρωμα[5]) τῶν ἐθνῶν εἰσέλθῃ, τότε πᾶς Ἰσραὴλ σωθήσεται. Πρὸς τοὺς ἀπὸ τῶν ἐθνῶν τὰ πρῶτα λέγει προφητικῶς, πρὸς τὸν θεὸν δὲ τὰ δεύτερα. Ἐγκατελείφθην παθεῖν, ἵνα χώραν λάβητε. Καὶ γέγονα δι' ὑμᾶς ἐχθρὰ τοῦ θεοῦ, καίπερ κατὰ τὴν ἐκλογὴν ἀγαπητὴ διὰ τοὺς πατέρας ὑπάρχουσα. Διὸ τὸν ἐμὸν ἀκούσαντες στεναγμὸν, καὶ τὴν αἰτίαν τούτου νοήσατε. Τέλεον γὰρ ἐφ' ὑμετέρᾳ σωτηρίᾳ ἐγκαταλέλειμμαι, μὴ ἔχουσα τὸν ἀεί με παραμυθούμενον μετὰ πεῖραν κακῶν· νῦν γὰρ ἐξέ-

---

[1]) Ezech. XXIII, 9.

[2]) Cfr. Ezech. XXIII, 11. 12. — Ed. Ruaei: ἴδεν.

[3]) Thren. I, 20. [4]) Thren. I, 21.

[5]) Cfr. Rom. XI, 25.

λειπεν[1]) ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ· ἦλθε γὰρ ᾧ ἦν τὰ ἀποκείμενα, ἡ προσδοκία τῶν ἐθνῶν, οὗπερ ἐκδικουμένου τοῦ αἵματος, οὐδεὶς ὁ παρακαλῶν ἔτι τὴν Ἱερουσαλήμ.

„Εἰσέλθοι[2]) πᾶσα ἡ κακία αὐτῶν κατὰ πρόσωπόν σου." Τουτέστιν, μὴ ἐπὶ πλέον ἀφεθῇ χρῆσθαι αὐτῶν ἡ κακία, γένοιτο δέ σου ἐν ἐπισκοπῇ, ὡς εἴ τις εὔξαιτο τραύματα εἰς ὄψιν ἐλθεῖν ἰατροῦ, πρὸς τὸ τυχεῖν τελείας ἰάσεως. Τοῦτο γὰρ τό· „πᾶσα." Μακάριον μὲν γὰρ μάλιστα τὸ μὴ ἁμαρτεῖν, δεύτερον δὲ τὸ πᾶσαν ἡμῶν ἐπισκοπεῖσθαι παρὰ θεοῦ τὴν κακίαν.

„Καὶ[3]) ἐπιφύλλισον αὐτοῖς." Ἐπιφυλλίσαι δὲ, τὸ μετὰ τρυγητὸν τὰ βραχέα τῶν καταλειφθέντων ἐπιτρυγᾶν, ὅπερ ποιοῦσιν οἱ πένητες. Ὥσπερ οὖν ὅτε μὲν ἐπεσκόπεις ἐπιμελῶς, ἐκάθαιρες τὰ κλήματά μου πάντα τὰ χείρονα μέχρι τῶν σμικροτάτων, περιαιρῶν τὴν σταφυλὴν τῆς χολῆς καὶ τοὺς βότρυς τῆς πικρίας, οὕτως τοὺς ἐμοὺς ἐχθροὺς ἐπιφύλλισον· τοῦτο γάρ μοι λυσιτελὲς, εἴγε μετ' αὐτοὺς τελείως σωθέντας κἀγὼ κατὰ τὴν σὴν, ὦ κύριε, κρίσιν, τεύξομαι σωτηρίας· οὓς ὁρῶσα λελύπημαί τε σφόδρα, καὶ κατέγνων ἐμαυτῆς, τῆς ἐπισκοπῆς τῆς παρὰ σοῦ δεομένη.

Κεφάλαιον δεύτερον.

„Συνέκλασεν[4]) ἐν ὀργῇ θυμοῦ αὐτοῦ πᾶν κέρας Ἰσραήλ." Ὅμοιον παρὰ Δαβὶδ τό· „πάντα[5]) τὰ κέρατα τῶν ἁμαρτωλῶν συνθλάσει." Λέγει δὲ νῦν τοὺς ἄρχοντας, ἐν οἷς ἡ τοῦ ἔθνους ἰσχὺς καθάπερ ἐν τοῖς κερασφόροις τῶν ζώων· καὶ διότι τοῦ σώματος ἔξοχοι

[1]) Cfr. Gen. XLIX, 10. [2]) Thren. I, 22.
[3]) Thren. I, 22. [4]) Thren. II, 3.
[5]) Cfr. Psalm. LXXV, 10. (LXXIV.)

κατὰ τῶν ὑπηκόων οἱ ἄρχοντες. Καὶ Δανιὴλ [1]) *δὲ τὰς βασιλείας ἀπείκασε κέρασιν. Δηλοῖ δὲ καὶ τὴν ὑπεροψίαν τοῦ ἡγεμονικοῦ τὸ κέρας, ὡς ἐν τῷ· „μὴ* [2]) *ἐπαίρετε εἰς ὕψος τὸ κέρας ὑμῶν.“ Ἀποστρέψας οὖν αὐτοῦ τὴν σώζουσαν χεῖρα, τοῖς πολεμίοις εὐαλώτους ἐποίησεν, οὓς δὴ καὶ φλόγα πάντα δαπανῶσαν ἐκάλεσεν. Εἴποις δ' ἂν καὶ πᾶν ὑψηλὸν νόημα κέρας, καὶ πῦρ τὰ „πάθη* [3]) *τῆς ἀτιμίας,“ οἷς ὁ πλημμελῶν παραδίδοται, πᾶσαν τὴν κυκλοῦσαν ἀπολέσας βοήθειαν κατὰ τό· „παρεμβαλεῖ* [4]) *ἄγγελος κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν.“*

„Ἐνέτεινε [5]) *τόξον αὐτοῦ, ὡς ἐχθρός.“ Καὶ γὰρ ἐν τῷ ναῷ τὰς σφαγὰς ἐτόλμησαν οἱ πολέμιοι, συγχωροῦντος τοῦ θεοῦ. Καλῶς δὲ τό· „ὡς* [6]) *ἐχθρός.“ Οὐ γὰρ ἐχθραίνων κολάζει ὁ θεὸς, ἀλλ' ὠφελῆσαι βουλόμενος ἢ τοὺς πάσχοντας, ἢ τοὺς ὁρῶντας. Σκηνὴν δὲ καλεῖ τὸν ναὸν, κατὰ τὸ ἐξ ἀρχῆς ἁγίασμα, καὶ τόξον τὴν τιμωρητικὴν δύναμιν, ὡς ἐν Ἀββακούμ· „ἐντείνων* [7]) *ἐντενεῖς τὸ τόξον σου ἐπὶ τὰ σκῆπτρα, λέγει κύριος·“ τὰς ἀντικειμένας δηλονότι ἀρχάς τε καὶ ἐξουσίας. Ὁ υἱὸς δὲ, δεξιὰ τοῦ θεοῦ καὶ πατρὸς ὑπάρχων, σφόδρα κατηγωνίσατο, καταλύσας καὶ ἅπερ ἐν ναῷ θεοῦ ἔστησαν εἴδωλα· — ταῦτα γὰρ ἐπιθυμήματα ὀφθαλμῶν· — ἀποκτείνας ἀντὶ τῶν εἰδώλων τοὺς ἐνοικήσαντας δαίμονας.*

„Κατεπόντισε [8]) *πάσας τὰς βάρεις αὐτοῦ.“ Βάρεις τὰς οἰκίας φησὶν, ἅπερ βασιλείας ἐξέδωκεν ὁ Σύμμαχος. Ἐπαναλαμβάνει δὲ τοὺς θρήνους, ὡς ἄν τις ἐπὶ πένθει περιαλγῶν. Πάλιν δὲ δείκνυσιν, ὡς ταπεινὸν λογισμὸν,*

---

[1]) Cfr. Dan. VIII, 3.
[2]) Psalm. LXXV, 5. (LXXIV.)
[3]) Cfr. Rom. I, 26.
[4]) Psalm. XXXIV, 7. (XXXIII.)
[5]) Thren. II, 4. [6]) Thren. II, 4.
[7]) Cfr. Habac. III, 9. [8]) Cfr. Thren. II, 5.

καὶ ταπεινὴν ἀνείληφεν ἔννοιαν, καθαιρεθέντων τῶν ὡς οἰκημάτων τε καὶ φρουρίων, καθάπερ πληρούντων τὸ ἡγεμονικόν. Ἀρεταὶ μὲν γὰρ τὰ οἰκήματα· ὑπ᾽ αὐτῶν γὰρ σκεπόμεθα· ὀχυρώματα δὲ οἱ ἀναντίῤῥητοι λογισμοί. Οὐ γὰρ ἐπὶ χειρόνων νῦν ἡ καθαίρεσις[1]) ὑψωμάτων, ἐπαιρομένων κατὰ τῆς γνώσεως τοῦ θεοῦ· οὐδὲ ταπεινότης, καθ᾽ ἣν τις μανθάνει[2]) τὰ δικαιώματα τοῦ θεοῦ. Ταῦτα γὰρ χαρᾶς, ἀλλ᾽ οὐ θρήνου πέφυκεν ἄξια.

„Καὶ[3]) διεπέτασεν ὡς ἄμπελον τὸ σκήνωμα αὐτοῦ.“ Σκηνὴν μὲν τὸν ναὸν, ἄμπελον[4]) δὲ καὶ ἀμπελῶνα λέγει τὸν Ἰσραὴλ, κατὰ τό· „ἄμπελον ἐξ Αἰγύπτου μετῆρας·“ παρὰ Δαβίδ· καί· „ἀμπελὼν[5]) ἐγενήθη τῷ ἠγαπημένῳ·“ παρὰ Ἡσαΐᾳ. Καὶ Δαβὶδ μὲν εἶπε· „ἵνα[6]) τί καθεῖλες τὸν φραγμὸν αὐτῆς;“ καὶ τὰ ἑξῆς· ὁ δὲ Ἡσαΐας· „ἀφείλετο[7]) τὸν φραγμὸν αὐτοῦ,“ καὶ τὰ ἐπὶ τούτῳ. Ταῦτα καὶ ὁ παρὼν ἐδήλωσε θρῆνος· συστείλας ἑαυτοῦ τὴν φρουρὰν ὁ θεὸς, τοῖς πολεμίοις παρέδωκεν, οὐκέτι κύκλῳ[8]) αὐτοῦ παρεμβάλλοντος ἀγγέλου, διὰ τὸ μὴ φοβεῖσθαι τὸν θεόν. Κατήργησε δὲ καὶ τοὺς κατὰ νόμον εἰς λατρείαν καιροὺς, ὡς ἐν Ἡσαΐᾳ φησί· „νηστείαν[9]) καὶ ἀργίαν καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου.“ Ὅπερ λήθην ἐκάλεσεν, ἀλλ᾽ οὐχ ὡς πάθος ἀνθρώπινον. Παρώξυνε δὲ βασιλέα καὶ ἱερέα, ἀγανακτοῦντας, ὅτι μέρις ὄντες θεοῦ, τοιαῦτα παρ᾽ ἀσεβούντων ὑφίστανται.

---

[1]) Cfr. II Cor. X, 5.
[2]) Cfr. Psalm. CXIX, 71. (CXVIII.)
[3]) Thren. II, 6.
[4]) Psalm. LXXX, 8. (LXXIX.)
[5]) Jesai. V, 1.
[6]) Psalm. LXXX, 12. (LXXIX.)
[7]) Cfr. Jesai. V, 5.
[8]) Cfr. Psalm. XXXIV, 7. (XXXIII.)
[9]) Jesai. I, 14.

„Ἀπώσατο[1]) κύριος θυσιαστήριον αὐτοῦ.“ Τὰ λειτουργικὰ παρέδωκε σκεύη, μηκέτι ταῖς παρ' ἀσεβῶν θυσίαις εὐαρεστούμενος, κατὰ τό· „ὁλοκαυτώματα[2]) κριῶν, καὶ στέαρ ἀρνῶν, καὶ αἷμα ταύρων καὶ τράγων οὐ βούλομαι.“ Παρέδωκε δὲ καὶ τὸ συνέχον τεῖχος τὰς οἰκίας τῆς πόλεως, ἤγουν τὰ βασίλεια, καθάπερ ἐξέδωκε Σύμμαχος. Οἱ δὲ δυσμενεῖς παραλαβόντες καὶ τὸν νεών, ὡς ἐπὶ τελείᾳ νίκῃ λοιπὸν ἑόρταζον ἀλαλάζοντες. Ψυχῆς δὲ θυσιαστήριον τὸ ἐν ἡμῖν λογικόν, δι' οὗπερ ἱερουργεῖται τὰ πάθη νεκρούμενα.

„Ἐλογίσατο[3]) κύριος τοῦ διαφθεῖραι τεῖχος θυγατρὸς Σιών.“ Πᾶσαν γὰρ αὐτῆς ἀφεῖλεν ἀσφάλειαν, τῆς τιμωρίας ἐκτείνας τὸ μέτρον· ὃ δὴ καὶ Ζαχαρίας τεθέαται.

„Ἐπένθησε[4]) δὲ προτείχισμα.“ Πενθεῖ δὲ τεῖχος καὶ προτείχισμα, τὰ πένθους ἄξια, τοῦ κλαίειν καὶ τοῖς ὁρῶσιν αἴτια γιγνόμενα· „τὴν[5]) γὰρ βουλὴν τίς διασκεδάσει; καὶ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὴν τίς ἀποστρέψει;“ κατὰ τὸν μακάριον Ἠσαΐαν. Τὴν δὲ τοιαῦτα πενθοῦσαν εἴτε πόλιν, εἴτε ψυχήν, ὡς εἶναι τοῖς ἐχθροῖς καταπάτημα, πενθεῖν εἰκὸς ἀγγέλους τοὺς πρότερον αὐτὴν ἄλλους ἐπ' ἄλλοις φυλάττοντας, μείζους τε καὶ ὑπερβεβηκότας. Εἰ γὰρ ἐπὶ σωθεῖσι χαίρουσιν, ἐπὶ πεσοῦσιν πῶς οὐ πενθήσουσιν;

„Ἐνεπάγησαν[6]) εἰς τὴν γῆν πύλαι αὐτῆς.“ Ὡς γὰρ ὑπὸ γῆς ἢ θαλάττης καταποθεῖσαι γεγόνασιν ἀφανεῖς. Ἀπώλοντο δὲ καὶ βασιλεὺς, καὶ ἄρχοντες, καὶ οἱ ψευδοπροφῆται, καὶ ὁ νόμος αὐτῆς ἀνάγκῃ δουλείας, ὃν δὴ προαιρέσει καὶ πρὶν ἁλῶναι κατέλυσαν. Πύλαι δὲ ψυχῆς αἱ αἰσθήσεις, αἵτινες ἁμαρτανούσης κατακλύζονταί τε πάθεσιν, καὶ γίνονται γήϊναι, καὶ αἱ ταύτας

---

[1]) Thren. II, 7. [2]) Cfr. Jesai. I, 11.
[3]) Cfr. Thren. II, 8. [4]) Thren. II, 8.
[5]) Cfr. Jesai. XIV, 27. [6]) Thren. II, 9.

δὲ τηροῦσαι τῆς ψυχῆς δυνάμεις ἐκκλύζονται ἀπολωλυῖαι· νοῦ μήτε βασιλεύοντος, καὶ λογισμῶν ἀρχικῶν ἐν τοῖς πάθεσιν, ὅτε τῆς ψυχῆς νόμος τε καὶ τάξις ἀπόλλυνται, καὶ γίνεται Βαβυλὼν πλήρης οὖσα συγχύσεως, μηδὲν ἔχουσα προνοητικὸν ὑπὸ θεοῦ βοηθούμενον.

„Ἐκάθισαν[1]) εἰς τὴν γῆν.“ Λυπηρὰ διηγεῖται θεάματα ἐν τῷ χωρίῳ τῆς εὐφροσύνης γεγενημένα· φόβῳ γὰρ οὐδὲ θρηνεῖν τοῖς πρεσβυτέροις ἐπέτρεπον, καὶ τὰς πρώτας παρθένους εἰς γῆν ὁρᾶν παρεσκεύασαν, μήποτε φανεῖσαι, πρὸς βίαν αὐτοὺς ἐκ τοῦ κάλλους, ἐν ᾧπερ ἐπρώτευον, ἐπισπάσωνται. Εἴποις δ' ἂν καὶ τοὺς ἐν ἀρετῇ πάλαι πρεσβεύοντας, δι' ἣν οὕτως ἐλέγοντο, χοϊκοὺς γεγονότας, καὶ πάθεσιν ἀλόγοις ἐνιδρυθέντας, κατὰ λόγον ἔτι μηδὲν ἐνεργεῖν, καὶ τὸ ἐν αὐτοῖς ἡγεμονικὸν ἀπογεώσαντας πνεῦμα, καὶ πένθους ἀξίαν, ἣν εἶχον πάλαι, σωφροσύνην ποιήσαντας, καὶ λογισμοὺς διαφθείραντας, οὓς πρὶν ἀφθόρους διέσωζον.

„Ἐξεχύθη[2]) εἰς τὴν γῆν δόξα μου.“ Δόξαν ἰδίαν φησὶν ὁ προφήτης θεοῦ τὸν λαὸν, καὶ πατρίδος εὐσέβειαν. Τῶν δὲ νηπίων τὴν ἔκλυσιν ὁ λιμὸς ἀπειργάζετο. Εἴποις δ' ἂν ὑψηλότερον, ὡς οἰκειοῦται τῶν συγγενῶν κατὰ σάρκα τὰ πάθη, κατὰ τό· „τίς[3]) ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ;“ τὰ κατὰ ψυχὴν ἐκείνων ἀναδεχόμενος δυσχερῆ, γνώσεως ἀληθοῦς μαρασμὸν καὶ φορὰν ἄστατον τοῦ λογισμοῦ πρὸς τὰ γήϊνα, καὶ στέρησιν δόξης τῆς ὑψούσης τὴν κεφαλὴν, κατὰ τό· „σὺ[4]) δὲ, κύριε, ἀντιλήπτωρ μου εἶ, καὶ ὑψῶν τὴν κεφαλήν μου.“

„Τί[5]) μαρτυρήσω σοι;“ Τὴν παντελῆ κακίαν ἐδήλωσεν, ὡς μηδεμίαν ἔχειν ἀρετῆς μαρτυρίαν, μηδὲ τὸν πλημμελήσαντα παραπλήσια. Τί γὰρ ὅμοιον ἁμάρ-

---

1) Thren. II, 10. 2) Thren. II, 11.
3) II Cor. XI, 29. 4) Psalm. III, 3.
5) Thren. II, 13.

τημα τοῦ μακρὰν τοῦ θεοῦ, καὶ τοῦ μετὰ τὸ πλησιάζειν ἀφηνιάσαντος; „Εἰ[1]) γὰρ μὴ ἦλθον, φησὶ, καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον.“ Διὸ καὶ „ἐν[2]) τοῖς ἐγγίζουσί μοι ἁγιασθήσομαι·“ ὅτι „ὁ μὴ εἰδὼς[3]) τὸ θέλημα τοῦ κυρίου, καὶ μὴ ποιῶν αὐτὸ, δαρήσεται ὀλίγας· ὁ δὲ εἰδὼς, καὶ μὴ ποιῶν αὐτὸ, δαρήσεται πολλάς.“ Τὸ οὖν τοσοῦτον πάθος, ὃ μὴ προφῆται θεραπεῦσαι δεδύνηνται, μόνου δεῖται θεοῦ. Διὸ καὶ σάρκα πεφόρηκεν, τῶν προφητῶν ὁμολογούντων ἀσθένειαν ἐν τῷ· „κύριε,[4]) τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν;“ Ἔλεγε δὲ καὶ πρότερον Ἱερουσαλήμ· „ἴδετε,[5]) εἰ ἔστι πάθος κατὰ τὸ πάθος μου.“ Ὁ τοίνυν παίσας, ἰάσεται. Αὐτὸς γὰρ ἀλγεῖν ποιεῖ, καὶ πάλιν ἀποκαθίστησιν. Τὸ γάρ· „τίς·“[6]) λαμβάνεται καὶ ἐπὶ τοῦ σπανίου, καὶ ἐπὶ τοῦ μηδενός. Οὐδεὶς γὰρ ἀνθρώπων ἰάσασθαι δύναται τὴν ὑπὸ θεοῦ ἐπαγομένην πληγήν.

„Προφῆταί[7]) σου εἶδόν σοι τὰ μάταια.“ Προφητεία ματαία ἡ μηδεμίαν ἔχουσα ἔκβασιν, καὶ ἣν εἴδωλα παρασκευάζει τὰ μάταια. Καὶ ἀφ' ἑαυτῶν δέ τινες προεφήτευον δῆθεν ἕνεκεν[8]) δρακὸς κριθῆς, καὶ κλάσματος ἄρτου, κατὰ τὸ γεγραμμένον· οἵτινες οὐκ ἴσασιν ἁμαρτίας ἐλέγχειν, καὶ τῆς ὑπὸ δαιμόνων ἀνασώζειν αἰχμαλωσίας, διὰ τῆς χρηστολογίας τὰς ψυχὰς διαστρέφοντες. Ὡς δὲ τῶν ἀληθῶν τὸ λῆμμα, καὶ ὁ λόγος, ὃν ἐκ θεοῦ λαμβάνουσιν, πέφυκεν ἀληθὲς, καὶ συνάπτει θεῷ, οὕτω τὸ τῶν δαιμόνων ψευδές τε, καὶ μακρῦνον θεοῦ, καὶ τῆς ἐκεῖθεν ῥοπῆς ἐξωθούμενον. Ποῖα δὲ ἐξώσματα τὰ μὴ μάταια, καθάπερ ἐδείχθη, καὶ λήμματα; Δῆλον ὡς τὰ πλάνης ἐξωθοῦντα καὶ προσάγοντα τῷ θεῷ.

---

[1]) Ev. Joann. XV, 22. [2]) Levit. X, 3.
[3]) Cfr. Luc. XII, 47. 48. [4]) Jesai. LIII, 1.
[5]) Cfr. Thren. I, 12. [6]) Cfr. Thren. II, 13.
[7]) Thren. II, 14. [8]) Cfr. Ezech. XIII, 19.

„Διήνοιξαν[1]) ἐπὶ σὲ τὸ στόμα αὐτῶν πάντες οἱ ἐχθροί σου.“ Ὁ γὰρ ἐχθρὸς ἡμῶν διάβολος περιέρχεται ὡς λέων ὠρυόμενος, ζητῶν τίνα καταπίῃ, καὶ ὡς ὄφις ἐφ᾽ ἡμᾶς ἀφίησι τὰ συρίγματα. Πλὴν μὴ γένοιτο λέγειν αὐτὸν, ὡς κατέπιον· μήτε καταλαβεῖν ἐν ἡμῖν ἡμέραν, ἣν ὁ συγκαίων ἥλιος κατεργάζεται. Εἴρηται γάρ· „ἡμέρας[2]) ὁ ἥλιος οὐ συγκαύσει σε.“ Ἡδοναῖς γὰρ καὶ θυμῷ συγκαίει, καὶ τὴν πλάνην ἡμῖν ὡς φῶς καὶ γνῶσιν παρέχεται. Ψάλλοντες οὖν ἐροῦμεν· „εἰ[3]) μὴ ὅτι κύριος ἦν ἐν ἡμῖν, ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς.“ Καὶ τό· „λαμπτὴρ[4]) δὲ ἀσεβῶν σβεσθήσεται.“

„Ἐποίησε[5]) κύριος ἃ ἐνεθυμήθη.“ Οὐκ ἐξ ἑαυτῶν ἐποίησαν οἱ πολέμιοι· Θεῷ γὰρ ἐδόκει, καὶ γέγονε. Διόπερ ἔλεγεν καὶ Ναβουζαρδάν· „κύριος[6]) ὁ θεός σου ἐλάλησε τὰ κακὰ ταῦτα εἰς τὸν τόπον τοῦτον, καὶ ἐπήγαγεν κύριος, ὅτι ἡμάρτετε αὐτῷ.“ Πᾶς οὖν ἀπιστῶν τῇ κρίσει, τῶν ῥημάτων τούτων ἀκούσεται. Πάντες οὖν οἱ προφῆται ταῦτα προύλεγον, ἐξ ἡμερῶν δὲ ἀρχαίων ὁ Μωσῆς ἐν τῷ Δευτερονομίῳ ταῦτα προεμήνυσεν.

„Ἐβόησε[7]) καρδία αὐτῶν πρὸς κύριον.“ Ἔστιν ὅτε περιπαθεῖς ἡ γραφὴ τοὺς λόγους ποιεῖ, καὶ τοῖς ἀναισθήτοις δίδωσιν αἴσθησιν, ἁλλομένους τε βουνοὺς εἰσάγουσα, καὶ ὄρη σκιρτῶντα, καὶ βουνοὺς καὶ λίθους μαρτύρεται· ὅπερ ἐν τούτοις ἀδύνατον, τοῦ τείχους ὑπὸ τῶν πολεμίων καθῃρημένου. Τεῖχος οὖν ἐνταῦθα βασιλεύς τε, καὶ ἄρχοντες, καὶ ὅσοι δυνάμει ταύτην περιτειχίζοντες, οὓς ἀξιοῖ χεεῖν μετανοίας ἀδιάλειπτα δάκρυα, ἃ τοῖς ὁρῶσι διὰ παντὸς προξενεῖ πεπτωκὸς,

---

1) Thren. II, 16.
2) Psalm. CXXI, 6. (CXX.)
3) Psalm. CXXIV, 2. 3. (CXXIII.)
4) Cfr. Prov. XIII, 9. 5) Thren. II, 17.
6) Cfr. Jerem. XL, 2. 3. 7) Thren. II, 18.

ταῦτα, φησὶν, ὑπάρχει αὐτοῖς, καὶ εἰ μὴ πάλιν τὴν λύπην σημαίνει τῆς πάλαι φρουρούσης δυνάμεως, ὑπερβολικῶς τοῦτο δηλῶν. „Ἐν[1]) θλίψει δὲ, λέγει, τοῦ κυρίου ἐμνήσθησαν ἐξ ὅλης τῆς καρδίας.“ Τοῦτο τοίνυν ποιήσατε, φησὶν, νυκτὸς καὶ ἡμέρας δακρύοντες, καὶ „ἐπὶ[2]) ταῖς κοίταις ὑμῶν κατανύγητε·“ μηδὲ νῆψιν ἡγεῖσθε τὴν ἀπὸ τούτων ἀπαλλαγήν. Μετανοίας γὰρ εἰς σωτηρίαν ἐστίν. Νήφει δέ τις οὐκ ἀγαθῶν, ἀλλὰ χειρόνων παυόμενος. Τὸν δὲ νοῦν σύναπτον διὰ παντὸς πρὸς Χριστὸν, ὅπως ἂν σε φυλάξειεν ὡς κόρην ὀφθαλμοῦ, καὶ σοὶ τεῖχος γένηται.

„Ἀνάστα,[3]) ἀγαλλίασαι ἐν νυκτί.“ Προσεκτικὸν ἡ νὺξ, συστρεφομένης ἐν αὐτῇ τῆς ψυχῆς ἐν τῇ τῶν αἰσθήσεων ἠρεμίᾳ. Τότε κελεύει μελετᾷν ἐν ταῖς ἐντολαῖς τοῦ θεοῦ, καὶ λέγειν μετὰ τοῦ Δαβίδ· „νυκτὸς[4]) μετὰ τῆς καρδίας μου ἠδολέσχουν, καὶ ἔσκαλεν τὸ πνεῦμά μου.“ Τῆς δὲ νυκτὸς εἰς τέσσαρας φυλακὰς διῃρημένης, λέγε μετὰ τοῦ Δαβίδ· „προκατελάβοντο[5]) φυλακὰς οἱ ὀφθαλμοί μου·“ καὶ μετὰ Ἀββακούμ· „ἐπὶ[6]) τῆς φυλακῆς μου στήσομαι, καὶ ἀποσκοπεύσω, τί λαλήσει ἐν ἐμοὶ κύριος ὁ θεός.“ Τότε γὰρ ἐρεῖς· „ὅτι[7]) λαλήσει εἰρήνην ἐπὶ τὸν λαὸν αὐτοῦ.“ Ἀδολέσχησον οὖν ἐν νυκτὶ τοῦ παρόντος αἰῶνος· οὐ γάρ ἐστί σοι „ἡ[8]) πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχὰς, πρὸς τὰς ἐξουσίας·“ „οὐκ[9]) οἶδας γὰρ, πότε ὁ κύριος τῆς οἰκίας ἔρχεται, ὀψὲ, ἢ μεσονυκτίῳ, ἢ ἀλεκτροφωνίας, ἢ πρωΐ· μὴ ἐλθὼν ἐξαίφνης εὑρήσῃ

---

[1]) Cfr. Hos. VI, 1. [2]) Psalm. IV, 5.
[3]) Thren. II, 19.
[4]) Psalm. LXXVII, 6. (LXXVI.)
[5]) Psalm. LXXVII, 4. (LXXVI.)
[6]) Cfr. Habac. II, 1.
[7]) Psalm. LXXXV, 8. (LXXXIV.)
[8]) Cfr. Ephes. VI, 12. [9]) Cfr. Marc. XIII, 35.

ἡμᾶς καθεύδοντας. Καὶ πάλιν· „εἰ[1]) γὰρ ᾔδεις ποίᾳ φυλακῇ ὁ κλέπτης ἔρχεται, ἐγρηγόρησας ἄν, καὶ οὐκ ἂν εἴασας διορυγῆναι τὴν οἰκίαν σου.“

„Ἆρον[2]) πρὸς αὐτὸν χεῖράς σου.“ Διὰ τῆς τῶν καλῶν ἐργασίας. Οὐ περὶ τῶν τυχόντων ὁ ἀγὼν, δι᾽ ἀπορίαν τοῦ θείου λόγου τῶν σῶν ἐκλειπόντων νηπίων, καὶ ἱσταμένων ἐπ᾽ ἀρχῆς πασῶν ἐξόδων ἐντολῶν τοῦ θεοῦ, καὶ προβῆναι μὴ δυναμένων ἄνευ θεοῦ συνεργίας, καὶ τοῦ στηρίζοντος ἄρτου καρδίαν.

„Ἴδε,[3]) κύριε, καὶ ἐπίβλεψον τίνι ἐπεφύλλισας.“ Τοῦ προφήτου παραινέσαντος, Ἱερουσαλὴμ ἐπείσθη, καὶ λέγει πρὸς τὸν θεόν· „μὴ[4]) ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ·“ „ἐπίβλεψον[5]) ἐπ᾽ ἐμὲ, καὶ ἐλέησόν με.“ „Μὴ[6]) τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.“ Μείζων ἀνθρωπίνης φύσεως ἡ πληγή. Οἶδα παραβᾶσα τὸν νόμον, καὶ τοῖς ἐντεῦθεν ἐπιτιμίοις ὑποκειμένη, ἐν οἷς ἐστιν καὶ τό· „φαγῇ[7]) τὰ ἔγγονα τῆς κοιλίας σου, κρέα υἱῶν σου, καὶ θυγατέρων σου.“ Ἐνόμιζον ἕως ἀπειλῆς εἶναι τὰ ῥήματα. Ἔγνων, κύριε, ὅτι „ὁ[8]) νόμος σου ἀλήθεια.“ Ἱερέως δὲ καὶ προφήτου σφαγὴν οὐκ ἐπυθόμην ἐν μέσῳ νεῷ.

„Ἐκοιμήθησαν[9]) εἰς τὴν ἔξοδον παιδάριον καὶ πρεσβύτης.“ Ἐπὶ γῇ ἦσαν ἐῤῥιμμένοι πάντες οἱ δι᾽ ἡλικίαν πρὸς τοὺς πόνους ἀδύνατοι, θέαμα λίαν ἐλεεινὸν, ὡς καὶ νέων σφαγὴ καὶ παρθένων. Εἴθε καὶ τούτων σφαγαὶ πρὶν εἰς ζωὴν πικροτέραν ἀπάγεσθαι. Ἔξοδοι δὲ ζωῆς τὰ βιωτικὰ πράγματα, ἐν οἷς ἐκοιμήθησαν μὴ

---

1) Cfr. Luc. XII, 39. 2) Thren. II, 19.
3) Thren. II, 20.
4) Psalm. XXVII, 9. (XXVI.)
5) Psalm. XXV, 16. (XXIV.)
6) Psalm. VI, 1. 7) Deut. XXVIII, 53.
8) Psalm. CXIX, 142. (CXVIII.)
9) Thren. II, 21.

γρηγορήσαντες, μηδὲ προσευξάμενοι, κλείσαντες δὲ πρὸς ἁμαρτίαν καὶ εὐφροσύνην τοὺς τῆς ψυχῆς ὀφθαλμούς. Καὶ τίνες οὗτοι; Εἰ μὲν παιδάρια, οὐ θαυμαστὸν ἄγαν. Νυνὶ δὲ πρὸ τούτων οἱ δοκοῦντες προβεβηκέναι κατ᾽ ἀρετὴν, καὶ πᾶς δὲ τὴν ψυχὴν ἀδιάφθορος, καὶ δυνατὸς ἐν πολέμῳ, γέγονεν ἐχθροῖς ὑποχείριος. Σὺ δὲ ὡς ἀγαθὸς τὴν τοιαύτην αὐτῶν καταπαύεις ζωὴν, καὶ κατατέμνεις πᾶσαν αὐτῶν σύστασιν τὴν ἐπὶ κακῷ.

„Ἐκάλεσας [1]) ἡμέραν ἑορτῆς παροικίας μου κυκλόθεν.“ Οἱ κύκλῳ μου, φησὶν, τὴν Ἰουδαίαν οἰκοῦντες, τὴν εἰς ἐμὲ ἑορτὴν ἐνόμιζον καταφυγὴν, σωτηρίαν ἐντεῦθεν ἐλπίζοντες· ὧν οὐδεὶς ὑπολέλειπται διὰ τὴν σὴν αὐτοῖς ἐπενεχθεῖσαν ὀργήν. Δι᾽ ὧν γὰρ ἥμαρτον, πολλοὶ καὶ δυνατοὶ γεγόνασιν ἐχθροί.

Κεφάλαιον τρίτον.

„Ἐγὼ [2]) ἀνὴρ ὁ βλέπων πτωχείαν.“ Δεινὰ συνέβη τῷ προφήτῃ καὶ πρὶν ἁλῶναι τὴν πόλιν καὶ ταύτης ἁλωκυίας. Διὸ στοιχειώσεως ἑτέρας κατάρχων, ἑαυτὸν ἀποδύρεται, πτωχείαν ὁρῶν καὶ ἐρημίαν τῆς πόλεως διὰ παιδείαν κυρίου. Καὶ αὐτὸς οὐδὲν ἧττον γέγονεν ἐν ἐνδείᾳ ἀγαθῶν, ἅμα μὲν ἐν περιστάσει γεγονὼς, ἡνίκα τούτους ἐξήλεγχεν, ὥστε λέγειν· „διετέλεσα [3]) μυκτηριζόμενος πᾶσαν τὴν ἡμέραν·“ ἅμα δὲ καὶ ταῖς τῶν δεινῶν αὐτῶν κοινωνῶν συμφοραῖς, καὶ τῇ ἐκ συμπαθείας ὀδύνῃ. Φησὶ δὲ καὶ κατὰ τὸν Δαβίδ· „σκιὰ [4]) θανάτου ἐπεσκίασέ με.“ Ὅταν γὰρ δοκῇ πρὸς βραχὺ διδόναι τοῖς πόνοις ἀνακωχὴν, αὖθις παλινδρομεῖ διηνεκῆ τιμωρίαν ποιούμενος.

---

[1]) Thren. II, 22. [2]) Thren. III, 1.
[3]) Cfr. Jerem. XX, 7.
[4]) Cfr. Psalm. XLIV, 19. (XLIII.)

„Ἐπέστρεψε[1]) χεῖρα αὐτοῦ ὅλην τὴν ἡμέραν.“ Τό· „ὅλην τὴν ἡμέραν·“ δηλοῖ καθ' ἑκάστην ἡμέραν· ὡς παρὰ τῷ Δαβίδ· „ὅλην[2]) τὴν ἡμέραν πολεμῶν ἔθλιψέ με.“ Σημαίνοι δ' ἂν τό· „ἔστρεψε[3]) χεῖρα αὐτοῦ·“ καὶ ὅτι πάλαι μοι τὰ ἀγαθὰ χορηγῶν, νῦν τὰς παιδείας ἐπάγει, καθάπερ ἀλλάξας τὴν χεῖρα.

„Ἐπαλαίωσε[4]) σάρκα μου,“ κ. τ. ε. Τὴν σαθρότητα τὴν συμβᾶσαν ἡμῖν ἐκ τῆς ἁμαρτίας σημαίνει.

„Τοῦ αὐτοῦ.“ Συμφορὰ γὰρ ἐπίμονος γεροντικὴν ἀσθένειαν ἐμποιεῖ.

„Ἀνῳκοδόμησε[5]) κατ' ἐμοῦ.“ Οὐ γὰρ ἀφῆκέ με διαφυγεῖν τὰ δεινὰ πανταχόθεν πολιορκούμενον. Λέγοι δ' ἂν ἴσως καὶ τὸ περιβληθὲν τῇ πόλει τεῖχος πολέμιον.

„Ἐν[6]) σκοτεινοῖς ἐκάθισέ με.“ Τὴν αὐτὴν μετὰ τοῦ Δαβὶδ ἀφῆκε φωνὴν εἰρηκότι· „ἐκάθισάν[7]) με ἐν σκοτεινοῖς ὡς νεκροὺς αἰῶνος.“ Τοῦτο δὲ διὰ τὰς ἀπὸ τῶν πολεμίων εἱρκτὰς, ἅμα δὲ καὶ διὰ τὰς ἐκ θεοῦ συμφοράς· ψυχῆς γὰρ σκότος οἱ πειρασμοί. Ἰδικῶς δὲ καὶ Ἱερεμίαν εἰς τὸν καταῤῥάκτην[8]) ἐνέβαλεν ὁ Πασχὼρ, σκοτεινὸν ὄντα, καὶ ἀφεγγῆ· ὁποῖον ἦν καὶ τῷ Δαβὶδ τὸ σπήλαιον,[9]) ἐν ᾧ παρὰ Σαοὺλ ἀπεκρύπτετο. Δύναιντο δὲ καὶ εἰς Χριστὸν οἱ δύο θρῆνοι λαμβάνεσθαι, οὗ τύπος ἦν Ἱερεμίας, τοσαῦτα παρὰ Ἰουδαίων πεπονθότος καὶ τέλος τάφῳ παραδοθέντος.

„Ἀνῳκοδόμησεν[10]) ὁδούς μου.“ Ἀφύκτοις με κακοῖς περιβέβληκεν, ἐπιθεὶς τῷ τραχήλῳ μου λαὸν ἀπηνῆ καὶ παραπικραίνοντα, καὶ μεῖζον ἢ κατ' ἐμὲ

---

[1]) Thren. III, 3. [2]) Psalm. LVI, 1. (LV.)
[3]) Cfr. Thren. III, 3. [4]) Thren. III, 4.
[5]) Thren. III, 5. [6]) Thren. III, 6.
[7]) Cfr. Psalm. CXLIII, 3. (CXLII.)
[8]) Cfr. Jerem. XX, 2.
[9]) Cfr. I Sam. XXIV, 4. (I Regg.)
[10]) Thren. III, 9.

φορτίον. Οὐκ εἰσηκούσθην δὲ κουφισθῆναι εὐξάμενος. Εἰσακουσθῆναι γὰρ τοὺς ἁγίους ἔσθ' ὅτε κωλύει τὰ πράγματα. Λέγει δὲ ζυγὸν, καὶ τοὺς κλοιοὺς[1]) *τοὺς σιδηροὺς, οὓς ἀντὶ ξυλίνων θεοῦ κελεύσει περιεβάλετο. Φέρεται γὰρ καὶ γραφή· „ἐβάρυνεν*[2]) *γὰρ τὸν χαλκὸν τοῦ τραχήλου μου.“ Ἀπέφραξε*[3]) *γὰρ τὴν προσευχήν μου, καὶ λέξας αὐτῷ· „μὴ*[4]) *προσεύχου περὶ αὐτῶν· οὐ γὰρ εἰσακούσομαί σου.“*

„Ἐνέφραξε[5]) *τρίβους μου.“ Ὥρμησα γὰρ πολλάκις, οὐ συνεχώρησας παραιτήσασθαι τὴν διακονίαν. Ἔφασκεν γάρ· „οὐ*[6]) *μὴ ὀνομάσω τὸ ὄνομα κυρίου·“ καὶ ὥσπερ ὑπό τινος συνελαύνετο. Ἐμφράττει δὲ καὶ τὰς ὁδοὺς τῶν ἁμαρτωλῶν, οὐ συγχωρῶν ἁμαρτεῖν. Ἀλλ' οὐ τοιοῦτος ὁ προφήτης, ὅς γέ φησιν· „οὐκ*[7]) *ἐκάθισα μετὰ συνεδρίου παιζόντων.“*

„Ἐνέτεινε[8]) *τόξον αὐτοῦ.“ Πᾶν αὐτοῦ, φησὶ, βέλος ἐκένωσε κατ' ἐμοῦ, τὴν ἐμὴν τιτρώσκων ἐπιθυμίαν, καὶ μὴ συγχωρῶν μοι πράττειν ὡς βούλομαι.*

„Εἰσήγαγεν[9]) *ἐν τοῖς νεφροῖς μου ἰοὺς*[10]) *φαρέτρας αὐτοῦ.“ Νεφροὶ δὲ ἐν τῇ γραφῇ τὸ ἐπιθυμητικὸν, ἰοὶ δὲ τὰ βέλη. Καὶ μὲ λοιπὸν ὡς ψεύστην διέσυρον, ᾠδήν με ποιήσαντες. Καὶ φθάσας δὲ ἔλεγεν· „κατὰ*[11]) *μόνας ἐκαθήμην, ὅτι πικρίας ἐνεπλήσθην,“ καὶ τὰ ἑξῆς. Ὁ μὲν γὰρ ἐδεῖτο ὑπὲρ αὐτῶν, οἱ δὲ ἐπεβούλευον. Καὶ ὅμως τὴν διακονίαν οὐκ ἦν παραιτήσασθαι. Ἐπικραίνετο τοίνυν καὶ πάσχων ὑπὲρ αὐτῶν, πάσχουσι συναλγῶν, καὶ ἀσεβοῦσιν ὑπεραχθόμενος.*

---

[1]) Cfr. Jerem. XXVIII, 13.
[2]) Cfr. Thren. III, 7. [3]) Cfr. Thren. III, 8.
[4]) Cfr. Jerem. XIV, 11.
[5]) Thren. III, 9. [6]) Jerem. XX, 9.
[7]) Cfr. Jerem. XV, 17. [8]) Thren. III, 12.
[9]) Cfr. Thren. III, 13.
[10]) Ed. Ruaei: „*τὰς φαρέτρας αὐτοῦ.*“
[11]) Jerem. XV, 17.

„Καὶ[1]) ἐξέβαλε ψήφῳ.“ Ψήφῳ, φησὶν, ἢ ἀριθμῷ καθ' ἕκαστον ὀδόντα παιομένου κατὰ τῆς σιαγόνος, ἢ λίθῳ σκληρῷ. Καὶ κατὰ τὸν Δαυὶδ δέ φησι· „μετὰ[2]) σποδοῦ ἄρτον μου ἤσθιον·“ τὸ μηδὲ ἄρτον σὺν ἡδονῇ λαμβάνειν δηλῶν ὑπὸ θλίψεως. Οὐχ οἷον οὖν εἶναι τὴν ψυχὴν ἐν εἰρήνῃ ταύτῃ ταραττομένην, καὶ προσέτι βλέπουσαν ἔξωθεν θορύβους, ἔσωθεν μάχας. Διὸ μηδὲν ἐλπίσας χρηστὸν, τὰς Ἰὼβ ἀφῆκε φωνάς· „ἀπείπατό[3]) με ἔλεος, καὶ ἡ ἐλπίς μου παρὰ κυρίου.“ Οὐ γὰρ ἦν νικῆσαι τὰ περιεστῶτα δεινά.

„Ἀγαθὸς[4]) κύριος τοῖς ὑπομένουσιν αὐτόν.“ Πρὸς πάντας γὰρ ὢν ἀγαθὸς, τὴν παρ' ἡμῶν ὑπομονὴν ἀπαιτεῖ. Τῇ γὰρ ψυχῇ τῇ ζητούσῃ αὐτὸν, ἀγαθὸν τὸ ζητεῖν· ἥτις ὑπομένει μὴ ταραττομένη, μέχρι τὸ ἔλεος ἀπαντήσειεν· μηδὲ μεθισταμένη, μέχρι τὸ σωτήριον ἐπιφανείη κυρίου, εἰς τὸ ἐλπίζειν εἰς ἕτερον. Ἴσως δὲ καὶ „ἡσυχάσει,“[5]) λέγει, μὴ πολυπραγμονοῦσα τῆς προνοίας τὰ κρίματα. Δεῖ τοίνυν, κἂν ἀγνοοῦμεν, μὴ ἀφηνιάσαι κυρίου.

„Ἀγαθὸν[6]) ἀνδρὶ, ὅταν ἄρῃ ζυγὸν ἐν νεότητι αὐτοῦ.“ Ὅτι ὁ ζυγὸς[7]) αὐτοῦ χρηστὸς, καὶ τὸ φορτίον ἐλαφρόν.

„Καθήσεται[8]) κατὰ μόνας, καὶ σιωπήσεται, ὅτι ἦρεν ἐφ' ἑαυτῷ.“ Κἂν οὖν μηδεὶς αὐτῷ συμβαίνῃ περί του, μὴ δεῖ συνάπτεσθαι· ἀλλὰ κἂν μονωθῇ πρὸς τοῦτο, τοῖς δεδογμένοις ἐγκαρτερεῖν, καὶ ἐνιδρύσθαι βεβαίως. Κύριος γὰρ „κατοικίζει[9]) μονοτρόπους ἐν οἴκῳ,“ φησὶν ὁ Δαυὶδ, καὶ „κατὰ[10]) μόνας ἐγώ εἰμι, ἕως οὗ παρέλθω,“ δηλονότι τοὺς πειρασμοὺς, φιλανθρωπίας τυχών.

---

1) Thren. III, 16. 2) Cfr. Psalm. CII, 9. (CI.)
3) Cfr. Job. VI, 14. 4) Thren. III, 25.
5) Thren. III, 26. 6) Thren. III, 27.
7) Cfr. Matth. XI, 30. 8) Thren. III, 28.
9) Psalm. LXVIII, 6. (LXVII.)
10) Psalm. CXLI, 10. (CXL.)

„Δώσει[1]) τῷ παίοντι αὐτὸν σιαγόνα.“ Ταπεινώσει γὰρ ἑαυτὸν φάσκων· „ἐγὼ[2]) δέ εἰμι γῆ καὶ σποδός·“ εἴπερ ὄντως ἐστὶν ἀνὴρ, καὶ τῆς μὴ καταισχυνούσης ἐλπίδος πεπλήρωται, ὁποῖον καὶ τό· „ἐκολλήθη[3]) τῷ ἐδάφει ἡ ψυχή μου.“

„Ὅτι[4]) οὐκ εἰς τὸν αἰῶνα ἀπώσεται κύριος.“ Οὐκ εἰς τὸν αἰῶνα μηνιεῖ· ἐρεῖ δὲ τῷ πρὸς ἀξίαν μετανοήσαντι· „διαλειπέτω[5]) ἡ φωνή σου ἀπὸ κλαυθμοῦ, καὶ οἱ ὀφθαλμοί σου ἀπὸ δάκρυος.“

„Κύριος[6]) οὐκ εἶπε.“ Διὰ τοῦτο μανθάνομεν, μὴ εἰρηκέναι τὸν κύριον, καὶ μηδὲ αἴτιον εἶναι τοῦ ταπεινωθῆναι τοὺς δεσμίους τῆς γῆς ὑπὸ τῆς ἁμαρτίας, οὐδὲ τὰ ἀνθρώπινα κρίματα ἐκκλίνειν κατέναντι τοῦ θεοῦ· τὸ γὰρ δίκαιον ἀγαπᾷ καὶ εὐθύ· ἀλλ' οὐδὲ τοῦ ἄξιον γενέσθαι καταδικάσαι ἄνθρωπον· οὐ γὰρ δύναται, φησὶ, τὰ ἐναντία ἐκ στόματος κυρίου ἐξεληλυθέναι, τὰ ἀγαθὰ, καὶ τὸ κακόν· οὐδὲ γὰρ δένδρον[7]) ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖ, οὔτε δένδρον πονηρὸν καρποὺς ἀγαθούς. Τὸ οὖν ἀδικεῖσθαι ἄνδρας ὑπὸ πονηρῶν, παρὰ τὴν θείαν κρίσιν ἐστὶ, γίνεται δὲ ὅμως ἐν τοῖς περιορωμένοις ὑπὸ θεοῦ, καθὰ καὶ τοῖς Ἰσραηλίταις ὑπὸ τῶν πολεμίων συνέβη, καὶ ἐν ἐπιστροφῇ θεοῦ λύεται. Διὸ χρὴ ταύτην ἀναζητεῖν τοὺς ἐπὶ τιμωρίᾳ παραδοθέντας.

„Τί[8]) γογγύσει ἄνθρωπος;“ Μάτην ἄρα γογγύζοντες, ἐπὶ τὸν δημιουργὸν τὴν αἰτίαν ἀνάγομεν· ὅπερ ὁ ζῶν ἄνθρωπος οὐκ ἔχει ποιεῖν· νεκρῶν γὰρ ἐν ἁμαρτίαις ἡ τοιαύτη προαίρεσις, εἰ μὴ ἄρα διελέγχῃ τὸν ζῶντα κατὰ ἁμαρτίαν, καὶ θεὸν αἰτιώμενον. Ὡς οὖν ἑτέραν αἰτίαν οὐκ ἔχοντες, ἢ μόνους ἑαυτοὺς, τὰ παρ' ἑαυτῶν γενόμενα κρίναντες ἐπιστρέψωμεν.

---

1) Thren. III, 30. 2) Gen. XVIII, 27.
3) Psalm. CXIX, 25. 4) Thren. III, 31.
5) Jerem. XXXI, 16. 6) Thren. III, 36.
7) Cfr. Matth. VII, 17. 8) Thren. III, 39.

„Ἐξηρευνήθη[1]) ἡ ὁδὸς ἡμῶν.“ Οὐκ ἔστι γὰρ ἐπιστρέψαι πρὸς κύριον τὸν ἑαυτὸν ἀγνοήσαντα· ἐπιγινώσκει δέ τις ἑαυτὸν, ἐπάγων ταῖς πράξεσι τὴν διάνοιαν, ἅμα μὲν ἐπισκοπῶν αὐτὰς, ἅμα δὲ καὶ νοερὰς ἐργαζόμενος. Τότε γὰρ ἀνακεκαλυμμένῳ[2]) προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμεθα, καὶ τὰ πρὶν ἐξομολογούμενοι λέξομεν, ὅτι ἡμάρτομεν,[3]) καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ. Ἐπήγαγες, ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν οἷς ἐποίησας ἡμῖν.

„Ἀναλάβωμεν[4]) καρδίας ἡμῶν.“ Τὸ ἀναλαβεῖν καρδίας ἐπὶ χειρῶν δοκεῖ δηλοῦν τό· οἱονεὶ μετὰ χεῖρας λαβόντες τὰς ἑαυτῶν ἐννοίας ἐξετάσωμεν, εἴπερ εἰσὶ καθαραί.

„Ἀπεσκέπασας[5]) ἐν θυμῷ.“ Καὶ ταῦτα φθασάσης ἐξομολογήσεως μέρος· ὡς γὰρ σκότος ἡμῖν ἐκ νεφέλης ἐπήγαγες τὰς τῶν δεινῶν περιστάσεις, καὶ μακρὰν ὄντας ἀπὸ σοῦ κατεδίωξας, ἀπώλεσας νεκρῶν τῇ ἁμαρτίᾳ διὰ τῆς τιμωρίας. Καὶ ἐπείπερ αἱ ἁμαρτίαι ἡμῶν διΐστων ἡμᾶς ἀπὸ σοῦ ὥσπερ διατειχιζούσης νεφέλης, οὐκ ἔφθανεν ἡμῶν ἡ προσευχὴ πρὸς σέ· οὐ γὰρ εἴχομεν πτέρυγας[6]) περιστερᾶς ὑπερίπτασθαί τε καὶ λέγειν· „ἐν[7]) τῷ θεῷ ὑπερβήσομαι τεῖχος.“ Οὐ γὰρ ἦν εὐχερὲς παρελθεῖν τὴν ἁμαρτίαν, στερεάν τε οὖσαν, καὶ σκοτεινὴν, πνεύματος ἄμοιρον ἁγίου.

„Φόβος[8]) καὶ θυμὸς ἐγενήθη ἡμῖν.“ Σύμμαχος· „πτόησις.“ Ὅλῳ στόματι κατέπιον ἡμᾶς, καὶ εἰς βάθος κακῶν ὑπηνέχθημεν, φόβου καὶ ταραχῆς ἐμπλησθέντες· ἐμπίπτει γὰρ εἰς ὃν ὤρυξε βόθρον ὁ ἁμαρτωλὸς, διδοὺς ὧν ἥμαρτε δίκας. Καὶ ἐπεὶ πρὸ συντριβῆς ἡγεῖται ὕβρις

---

1) Thren. III, 40. 2) Cfr. II Cor. III, 18.
3) Cfr. Dan. IX, 5. 4) Thren. III, 41.
5) Thren. III, 43. 6) Cfr. Psalm. LV, 6. (LIV.)
7) Cfr. Psalm. XVIII, 29. (XVII.)
8) Thren. III, 47.

κατὰ τὸν Σολομῶντα, τουτέστιν ὑπερηφανία, ἐπήρθημέν τε καὶ συνετρίβημεν. Ὅθεν ὁ Δαυὶδ μελῳδεῖ· „μὴ ἐλθέτω μοι ποὺς ὑπερηφανίας, καὶ χεὶρ ἁμαρτωλοῦ μὴ σαλεύσαι με.“

„Ἀφέσεις[1]) ὑδάτων κατάξει ὁ ὀφθαλμός μου ἐπὶ τὸ σύντριμμα τῆς θυγατρὸς τοῦ λαοῦ μου.“ Καὶ τοσαῦτα παθὼν, τῶν δεδρακότων ὑπεραλγεῖ. Οὕτως „ἡ[2]) ἀγάπη τὸ κακὸν οὐ λογίζεται.“

„Ὁ[3]) ὀφθαλμός μου κατεπόθη.“ Ἀντὶ τοῦ· ὀφθαλμός μου κατεπόθη, καὶ οὐ σιγήσεται, τοῦ μὴ εἶναι ἔκνηψιν. Σύμμαχος εἶπεν· „ὁ ὀφθαλμός μου ὑπέμεινεν, καὶ οὐκ ἐπαύσατο, τοῦ μὴ εἶναι ἄνεσιν.“ Δηλοῦσι δὲ οἱ μὲν ἑβδομήκοντα, ὅτι καὶ τῶν ὀφθαλμῶν ἐκ πλήθους δακρύων ἠθενηκότων οὐ διέλειπον ὅλως, ἀνανῆψαι τοῦ κλαυθμοῦ μὴ δυνάμενος· ὁ δὲ Σύμμαχος, ὅτι ἐπέμεινά τε δακρύων, καὶ οὐ διέλειπον· προσευχὴ γὰρ ἐκτενὴς καὶ δακρύων ἐπίτασις τὸν θεὸν ἐφέλκει πρὸς ἔλεον.

„Ὁ[4]) ὀφθαλμός μου ἐπιφυλλιεῖ.“ Κατακόπτει γάρ με τὰ δάκρυα, καθάπερ ἄμπελον ἀκριβὴς τρυγητής. Κατὰ δὲ Σύμμαχον· „ὅτι κατεπόντισάν με τὰ δάκρυα,“ τῇ τῶν ἐν ὕδασι πνιγομένων μεταφορᾷ. Ὑπομένων δὲ ὑπομενῶ τὸν κύριον, μέχρι τοῦ ἀποστρέφειν τὸ πρόσωπον αὐτοῦ ἀφ' ἡμῶν. Τὸ διακύψαι δὲ τὸν θεὸν, τὸ τῆς ἐπισκοπῆς ἡμᾶς ἀξιῶσαι δηλοῖ. Ἐξηγεῖται δὲ τό· „παρὰ[5]) πάσας·“ „ἐπὶ πάσας“ ἐπενεγκὼν, τουτέστιν ἐπὶ ταῖς αὐτῶν συμφοραῖς. Τὸ γὰρ θῆλυ γένος τοῦ τῶν ἀῤῥένων ἐλεεινότερον.

„Θηρεύοντες[6]) ἐθήρευσάν με ὡς στρουθίον.“ Ἃ πέπονθεν λέγει· ἐνεβλήθη γὰρ λάκκῳ, καὶ ὅσον ἧκεν εἰς ἐκείνους ἀπέθανεν· σωθεὶς δὲ παρ' ἐλπίδα ἐβόα μετὰ

---

[1]) Thren. III, 48. [2]) I Cor. XIII, 5.
[3]) Thren. III, 49. [4]) Thren. III, 51.
[5]) Thren. III, 51. [6]) Thren. III, 52.

τοῦ Δαυίδ· „ἡ[1]) ψυχή μου ὡς στρουθίον ἐῤῥύσθη ἐκ τῆς παγίδος τῶν θηρευόντων.“ Οὐ γὰρ ἦν πεσεῖν[2]) ἐπὶ τὴν γῆν ἄνευ τοῦ πατρὸς τοῦ ἐν τοῖς οὐρανοῖς, κατὰ τὴν τοῦ σωτῆρος φωνήν. Ἢ τοίνυν δι' ἑαυτόν φησιν, ἢ καὶ τὰ τοῦ λαοῦ οἰκειούμενος πάθη. Ἀλλὰ τό· „δωρεάν·“[3]) περὶ ἑαυτοῦ εἰκότως ἂν λέγοιτο. Τί γὰρ αὐτοὺς ἠδίκησεν, μᾶλλον δὲ οὐκ εὐεργέτησεν;

„Ἐδίκασας[4]) κύριε,“ κ. τ. ε. Ἐδίκασεν ὁ θεὸς ἀποκτείνας τὸν ψευδοπροφήτην, καὶ τὸν βασιλέα παραδοὺς, καὶ ἐπὶ τοῦ Χριστοῦ παραδοὺς τὸ ἔθνος εἰς ἅλωσιν.

„Ἐγὼ[5]) δὲ ἐπ' ὀφθαλμοὺς αὐτῶν.“ Τὸ δέ· „ἐγὼ ἐπ' ὀφθαλμοὺς αὐτῶν·“ ὅτι βαρὺς ἤμην αὐτοῖς καὶ φαινόμενος.

„Ἀποδώσεις[6]) αὐτοῖς ἀνταπόδομα, κύριε, κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτῶν.“ Ἔλεγε καὶ πρόσθεν· „συντέλεσον αὐτοὺς, καὶ ἔσται σου ὁ λόγος ἐμοὶ εἰς εὐφροσύνην καὶ χαρὰν καρδίας μου.“ Ταῦτα γέγονεν μετὰ τὴν κατὰ τοῦ σωτῆρος ἐπιβουλὴν, ὅτε πανταχοῦ διεσπάρησαν. Ἦλθε γὰρ ἐπ' αὐτοὺς πᾶν αἷμα δίκαιον ἐκχυθέν. Τὸ τοίνυν συντελέσαι, τὸ τέλος λαβεῖν τὴν κατ' αὐτοὺς λατρείαν, καὶ τὸ μηκέτι χρηματίζειν ἔθνος θεοῦ.

„Ἀποδώσεις[7]) αὐτοῖς ὑπερασπισμὸν, καρδίας μου μόχθον.“ Ὅτι δώσεις αὐτοῖς μόχθον εἰς αἴσθησιν τοῦ· ποῖος ὑπῆρχες ὑπερασπίζων αὐτῶν, ἵνα σὲ καὶ πάλιν ζητήσωσιν· εἰ δὲ μὴ, καταδιώξεις[8]) αὐτοὺς ἐν ὀργῇ σου.

---

[1]) Psalm. CXXIV, 7. (CXXIII.)
[2]) Cfr. Matth. X, 29. [3]) Thren. III, 52.
[4]) Thren. III, 58. [5]) Thren. III, 63.
[6]) Thren. III, 64. [7]) Thren. III, 65.
[8]) Cfr. Thren. III, 66.

Κεφάλαιον τέταρτον.

„Πῶς[1]) ἀμαυρωθήσεται χρυσίον;" Τῆς νῦν παρούσης τετάρτης στοιχειώσεως ἀρχόμενος, τὸν περὶ τῶν ἐπιφανῶν ἐξαιρέτως ἐπανέλαβεν θρῆνον, ἠμαυρῶσθαι λέγων τὴν ἐπιφάνειαν, ἐκκεχυμένου τε δίκην ὕδατος ἠφανίσθαι.

„Ἐξεχύθησαν[2]) λίθοι ἅγιοι." Ἅγιοι δὲ ὡς ἐκλεκτοὶ διὰ τοὺς πατέρας, ἢ διὰ τοὺς σὺν Ἰωακὴν ληφθέντας ἁγίους, οὓς ἀπείκασε[3]) σύκοις χρηστοῖς. Καὶ μετ' ὀλίγα· Ἐξόδων δὲ, τῶν ἀπὸ τῆς ἁγίας γῆς ἀπαγουσῶν εἰς ἀπώλειαν, καὶ εἰς τὸν νοητὸν Βαβυλώνιον, ἵνα παιδευθῶσιν μὴ βλασφημεῖν. Εἴποις δ' ἂν τὸν θρῆνον καὶ ἐπὶ τῶν ἐκ θεοσεβείας μεταβαλλόντων, εἴπερ εἶεν ἐπίσημοι, καὶ πλάνης ἡγοῖντο τοῖς ἄλλοις, καταλιπόντες μὲν τὴν πηγὴν τοῦ ζῶντος ὕδατος, γεγονότες δὲ λάκκοι συντετριμμένοι, οἳ οὐ δύνανται στέγειν. Ὅθεν εἰκότως ἐκχέονται περὶ πλάνην ἀοριστοῦντες.

„Οἱ[4]) υἱοὶ Σιὼν οἱ τίμιοι." Οἱ κομῶντες ἐπὶ πλούτῳ, φησὶν, ἢ καὶ χρυσίου τιμιώτεροι, πῶς οὕτως τοῖς εὐτελέσι καὶ συντριβομένοις ἀπαχθέντες εἰς δουλείαν εἰκάσθησαν; Ἔφη δὲ τούτοις αὐτοὺς ἀπεικάζεσθαι καὶ ἡνίκα κατελθὼν εἰς τὸν οἶκον τοῦ κεραμέως λαβὼν ἀγγεῖον[5]) συνέτριψεν. Ἀπεικάζει δὲ αὐτοὺς καὶ Ἡσαΐας πόλει πεσούσῃ, καὶ τὰ[6]) πτώματα, λέγων, αὐτῆς ἔσται ὡς συντρίμματα ἀγγείου ὀστρακίνου.

„Καί[7]) γε δράκοντες ἐξέδυσαν μαστούς." Περὶ λιμοῦ τῶν ἐνδόξων λέγει βρεφῶν, ὡς τῆς Ἱερουσαλὴμ μηδὲ τοῖς ἀγρίοις ζώοις ὁμοίως θηλὴν αὐτῆς προτεῖναι δεδυνημένης. Ἡ δὲ τοῦ πάθους ὑπερβολὴ, καὶ φύσεως

---

[1]) Thren. IV, 1. [2]) Thren. IV, 1.
[3]) Cfr. Jerem. XXIV. [4]) Thren. IV, 2.
[5]) Cfr. Jerem. XIX. [6]) Cfr. Jesai. XXX, 14.
[7]) Thren. IV, 3.

λήθην ἐργάζεται. Δράκοντας δὲ, ἢ καὶ τὰς κατὰ Σύμμαχον Σειρῆνας, ἀκούσεις τὰ πονηρὰ πνεύματα, τὰ τοὺς ἑαυτῶν νεογνοὺς πονηρῷ θηλάσαντα γάλακτι. Τοιοῦτοι δὲ οἱ ταῖς διδασκαλίαις τῶν ἀσεβῶν εἰσαγόμενοι.

„Ἐθήλασαν[1]) σκύμνοι αὐτῶν θυγατέρας λαοῦ μου εἰς ἀνίατον, ὡς στρουθίον ἐν ἐρήμῳ.“ Πῶς γὰρ οὐ θυγατέρες οἱ ἐκτεθηλυμένοι; Οὓς καὶ Φαραὼ περιποιεῖται φονεύων τοὺς ἄῤῥενας· οἳ καὶ τὴν διδασκαλίαν τὴν ἔρημον θεοῦ καταβόσκονται, ἀποπτῆναι κατὰ τοὺς στρουθιοκαμήλους μὴ δυνάμενοι, ἀλλὰ τὴν γῆν ἀεὶ διαθέοντες; Τὸ γὰρ στρουθίον οὕτως ἐξέδωκεν Σύμμαχος, τοὺς δὲ τούτων διδασκάλους οὐκ ἀπεικότως Σειρῆνας ἐκάλεσεν. Κατὰ γὰρ τὸν ἔξω μῦθον αὗται διὰ τῆς ἡδονῆς τοὺς προστυχόντας ἀπώλλυον, ὥσπερ οὖν τὸν υἱὸν ἐνδακόντες οἱ δράκοντες. Ὀνειδίζει τοίνυν τοῖς δῆθεν ἀγαθοῖς διδασκάλοις, ὅτι μηδὲ τούτοις ὁμοίως περὶ τοὺς φοιτῶντας ἐσπούδασαν.

„Ἐκολλήθη[2]) ἡ γλῶσσα θηλάζοντος,“ κ. τ. ε. Ταῦτα πεπόνθασι πολιορκούμενοί τε καὶ ἀγόμενοι. Λέγοις δ' ἂν καὶ ὡς λιμὸν[3]) ὑπέμειναν οὐκ ἄρτου, οὐχ ὕδατος, κατὰ τὸ λόγιον τὸ προφητικὸν, ἀλλὰ τοῦ ἀκοῦσαι λόγον κυρίου. Διὸ περὶ τῶν νεογνῶν αὐτῶν προφητεύει.

„Τοῦ αὐτοῦ.“ Ἱστορικῶς μὲν ἐπανῆλθεν ἐπὶ τὰ συμβάντα ἐπὶ τῆς αἰχμαλωσίας· πρὸς δὲ διάνοιαν περὶ τοῦ λιμοῦ διδασκαλικοῦ φησιν.

„Οἱ[4]) ἐσθίοντες τὰς τρυφάς.“ Οὐ γὰρ τοσοῦτον ἐλεεινοὶ οἱ πένητες οἱ κακούμενοι. Τούτους δὲ θρηνεῖ καὶ Παῦλος· „ὧν[5]) ἡ υἱοθεσία, λέγων, καὶ ἡ δόξα.“ Κενὰ γὰρ νῦν μελετῶντες, οὐκ ἐντρυφῶσι Μωϋσεῖ τε καὶ τοῖς προφήταις, ὡς τό· „κατατρύφησον[6]) τῷ κυρίῳ.“

---

[1]) Thren. IV, 3. — Ed. Ruaei: Ἐθήλησαν.
[2]) Thren. IV, 4. [3]) Cfr. Amos. VIII, 11.
[4]) Thren. IV, 5. [5]) Rom. IX, 4.
[6]) Cfr. Psalm. XXXVII, 4. (XXXVI.)

Οὐδεὶς γὰρ ὁ πέπτων τὸν τρόφιμον λόγον, οὐδὲ τοῦ σιτευτοῦ μεταλαμβάνουσι μόσχου, καίπερ αὐτοὶ τεθνκότες. Διεξόδους δὲ καλεῖ τὰς διασπορὰς, ἢ καὶ τὰς τῶν νομικῶν γραμμάτων παρατροπάς.

„Οἱ[1]) τιθηνούμενοι ἐπὶ κόκκων.“ Ἐτιθηνοῦντο τὸ πρὶν ἐπὶ κόκκου, τὸ μέλλον ἐκχεῖσθαι τοῦ σωτῆρος αἷμα προφητικῶς προακούοντες, καὶ νῦν ἐκ τῶν γηΐνων νοημάτων ῥακοδυτοῦντες.

„Ὥσπερ[2]) σπουδῇ, καὶ οὐκ ἐπόνεσαν.“ Σύμμαχος τὸ μέν· „ὥσπερ σπουδῇ“ „ἐξαπίνης“ ἐξέδωκεν· τὸ δέ· „οὐκ ἐπόνεσαν·“ „ἣν οὐκ ἔτρωσαν.“ Τί γὰρ θείου συντομώτερον λόγου φήσαντος· „ἰδοὺ,[3]) ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος,“ καὶ μόνῳ παραδόντος τῷ βούλεσθαι; Ἡ ἀνομία γὰρ τῆς Ἱερουσαλὴμ ὑπὲρ τὴν Σοδόμων ἐμεγαλύνθη. Οἱ μὲν τὸν φυσικὸν νόμον εἶχον μόνον, οἱ δὲ καὶ γραπτὸν, καὶ προφήτας, ὅσα τε παραδόξως ὁ θεὸς εἰργάζετο ἐν αὐτοῖς. Κἀκεῖνοι μὲν ἥμαρτον εἰς ἀγγέλους, καὶ τοὺς ὁμοίους ἀνθρώπους· οὗτοι δὲ εἰς τὸν σωτῆρα καὶ λυτρωτὴν πάλαι μὲν ἐξ Αἰγύπτου, νῦν δὲ δαιμόνων λατρείας, εἴπερ ἐδέξαντο τὸν πρὸς αὐτοὺς ἐλθόντα προηγουμένως. „Οὐκ[4]) ἀπεστάλην γὰρ, φησὶν, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ.“

„Ἐκαθαριώθησαν[5]) Ναζηραῖοι,“ κ. τ. ε. Σύμμαχος· „ἄχραντοι, ἀφωρισμένοι αὐτῆς ὑπὲρ χιόνα, λαμπρότεροι γάλακτος, πυῤῥότεροι τὴν ἕξιν ὑπὲρ τὰ περίβλεπτα. Σάπφειρος τὰ μέλη αὐτῶν, σκοτεινότερον ἀσβόλης τὸ εἶδος αὐτῶν.“ Τοὺς ἁγιάσαντας ἑαυτοὺς φησι τῷ θεῷ· „ἡγιασμένοι“ γὰρ τὸ „Ναζηραῖοι“ δηλοῖ. Οὕτω γὰρ Σύμμαχος καὶ Θεοδοτίων ἐν τῷ Ἀμὼς[6]) ἡγιασμένους ἐξέδωκαν, Ναζηραίους εἰπόντες. Μέμνηται

---

[1]) Thren. IV, 5. [2]) Cfr. Thren. IV, 6.
[3]) Matth. XXIII, 38. [4]) Matth. XV, 24.
[5]) Thren. IV, 7. [6]) Cfr. Amos. II, 11. 12.

τούτων καὶ Μωυσῆς·[1]) ὁποῖος ἦν καὶ Σαμψών· ἦσαν δὲ καὶ παρὰ Ἰουδαίοις ἐπιφανεῖς. Διὸ τὸ μὲν καθαρὸν αὐτῶν ἀντεξέτασε χιόνι, τὸ δὲ λαμπρὸν γάλακτι. Ἐπυρώθησαν δὲ, τῇ ἀσκήσει δοκιμασθέντες ὧν ἐπηγγέλλοντο τῷ θεῷ. Οἱ ἐκλεκτοὶ δὲ αὐτῶν, ὃ δηλοῖ τὸ ἀπόσπασμα, πολιτείαν οὐράνιον ἔχουσιν. Τοιοῦτον γὰρ τῆς σαπφείρου τὸ χρῶμα· ἔχουσι δὲ καὶ χρυσιζούσας φλέβας, αἷς δὴ τὴν ἕξιν αὐτῶν ὁ Σύμμαχος ἀπεικάζει τὸ ἀδιάφθορον ἔχουσαν, καὶ τὸ διάπυρον κατὰ θεοσέβειαν.

„Ἐσκότασεν[2]) ὑπὲρ ἀσβόλην τὸ εἶδος αὐτῶν.“ Τῆς πνευματικῆς ἐξέπεσαν ἐλλάμψεως, καὶ λιμῷ τῷ νοητῷ διετάκησαν, ὡς ἐοικέναι ξύλοις ξηροῖς, τοῖς μὴ πεφυτευμένοις παρὰ ταῖς διεξόδοις τῶν ὑδάτων· ὁποῖοι νῦν οἱ παρ᾽ αὐτῷ ἱερεῖς, μηδεμίαν ἔχοντες εὐτροφίαν πνευματικήν. Καὶ κατὰ τὸ ῥητὸν δὲ, ὑπ᾽ αἰσχύνης ἄκρας τὰ πρόσωπα αὐτῶν ἐμελαίνετο, ὅτι τοῖς ἄλλοις ὁμοίως ἁμαρτάνοντες ἀπήγοντο. Ἐπεὶ καὶ νῦν ἐπὶ τῶν καταισχυνομένων ἡ συνήθεια τῷ ὀνόματι κέχρηται.

„Καλοὶ[3]) ἦσαν οἱ τραυματίαι ῥομφαίας, ἢ οἱ τραυματίαι λιμοῦ.“ Πολέμῳ γὰρ κρεῖττον συντόμως τελευτᾷν, ἢ λιμῷ δαμασθῆναι δι᾽ ἀπορίαν τῶν ἐν ἀγρῷ γεννημάτων. Εἴποις δ᾽ ἂν ῥομφαίαν εἶναι καὶ μάχαιραν τὸν λόγον τοῦ θεοῦ· φησὶ γὰρ ὁ Παῦλος· „καὶ[4]) τὴν μάχαιραν τοῦ πνεύματος, ὅ ἐστι ῥῆμα θεοῦ·“ ὑφ᾽ οὗ φησιν ἡ νύμφη· „τετρωμένη[5]) ἀγάπης εἰμὶ ἐγώ.“ Λέγει δὲ καὶ ὁ Δαυίδ· „περίζωσαι[6]) τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου, δυνατὲ, τῇ ὡραιότητί σου καὶ τῷ κάλλει σου.“ Ὑπὸ τοιαύτης πληγέντας ῥομφαίας καλὸν ὑπὸ τοὺς πόδας πεσεῖν Ἰησοῦ κατὰ τό· „λαοὶ[7])

---

1) Cfr. Num. VI. 2) Thren. IV, 8.
3) Thren. IV., 9. 4) Ephes. VI, 17.
5) Cfr. Cantic. II, 5.
6) Psalm. XLV, 3. 4. (XLIV.)
7) Psalm. XLV, 5. (XLIV.)

ὑποκάτω σου πεσοῦνται·“ τὴν αὐτοῦ ὁμολογήσαντας βασιλείαν, ἀλλ' οὐχ ἁλῶναι λιμῷ ψυχικῷ. Γέννημα γὰρ χώρας ὁ Χριστὸς, ὁ ἐν Βηθλεὲμ γεννηθεὶς, ἥπερ οἶκος ἄρτου σημαίνεται, οὗπερ ἄγευστοι γεγονότες Ἰουδαῖοι εἰς δαιμόνων ἀπήχθησαν χώραν. Ἀγρὸς δὲ εὐλογημένος[1]) ὑπὸ κυρίου, καὶ λίαν εὐώδης, οὗπερ ἔπνεεν Ἰακὼβ, δηλοῖ Χριστοῦ τὴν ἐκκλησίαν.

„Χεῖρες[2]) γυναικῶν οἰκτιρμόνων ἥψησαν τὰ παιδία αὐτῶν.“ Ἵνα μὴ δόξωσιν αἱ γυναῖκες δι' ὠμότητα βεβρωκέναι τὰ τέκνα, οἰκτίρμονας μὲν εἶναί φησιν· τῇ δὲ τῆς ἐνδείας ἀνάγκῃ προσάπτει τὸ πάθος. Τὸ δὲ „ἥψησαν,“ ἀνάψαι καὶ ὀπτῆσαι δηλοῖ, ὃ δὴ γέγονεν ὑπὸ τῆς Ῥωμαίων πολιορκίας· διὸ καὶ σύντριμμα καλεῖ τὴν παντελῆ τοῦ ἔθνους ἀπώλειαν. Καὶ ἐν τῇ δευτέρᾳ δὲ τῶν θρήνων στοιχειώσει, τοῦ παρόντος μέμνηται πάθους. Καὶ τοῦτο δὲ καὶ τ' ἄλλα πάθη μετ' ἀκριβείας Ἰώσηππος[3]) ἐν τοῖς περὶ ἁλώσεως παρέδωκεν.

„Συνετέλεσε[4]) κύριος θυμὸν αὐτοῦ.“ Μετὰ γὰρ τὴν κατὰ Χριστοῦ παροινίαν συνετελέσθησαν.

„Οὐκ[5]) ἐπίστευσαν βασιλεῖς γῆς.“ Ἴσως δὲ καὶ διὰ τὸ τῶν τόπων ὀχυρὸν, καὶ τὴν οἰκητόρων ἰσχὺν, καὶ μάλιστα διὰ τὸν ἀεὶ τῆς πόλεως ὑπερασπικότα θεόν· καίτοι πρὸ τοῦ Ναβουχοδονόσορ εἰσελθὼν ὁ Αἰγύπτιος πολλάκις ἔλαβε[6]) τοὺς θησαυροὺς ἐκ τοῦ οἴκου κυρίου, ἀλλ' οὐ πορθήσας τὴν πόλιν· οὐ γὰρ ἄγαν ἔθλιβεν, εἰ καὶ ὑπῆρχεν ἐχθρὸς, πρὸς τῷ μηδὲ ἀπεμφαῖνον εἶναι, καὶ δύο, καὶ τρὶς τὸ παράδοξον γενέσθαι. Λέγει δ' ἂν βασιλεῖς τῆς γῆς καὶ τοὺς δαίμονας τοὺς τῶν χοϊκῶν βασιλεύσαντας, περὶ ὧν εἴρηται· „παρέστησαν[7]) πάντες

---

[1]) Cfr. Gen. XXVII, 27. [2]) Thren. IV, 10.

[3]) Cfr. Joseph. lib. VI. de captiv. cap. 21.

[4]) Thren. IV, 11. [5]) Thren. IV, 12.

[6]) Cfr. I Regg. XIV, 26. (III Regg.) coll. II Chronic. XII, 9.

[7]) Psalm. II, 2.

οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ·" περὶ ὧν τίνες εἰσὶν ἐδήλωσε τό· „εἰ [1]) γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Χριστὸν τῆς δόξης ἐσταύρωσαν·" καὶ τό· „ἵνα [2]) γνωρισθῇ ταῖς ἀρχαῖς, καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις, διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ·" ᾤοντο γὰρ μὴ παραδιδόσθαι τὴν Ἱερουσαλὴμ εἰς τέλος, μέχρι τοῦ ἔθνους τούτου τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν οἰόμενοι, μηδὲν εἰδότες περὶ Χριστοῦ.

„Ἐξ [3]) ἁμαρτιῶν προφητῶν αὐτῆς," καὶ τὰ ἑξῆς. Αἷμα δίκαιον κυρίως τὸ τοῦ σωτῆρος Χριστοῦ, ὅπερ ἐκχέαντες τελείως ἀπώλοντο, ἐπὶ τοῖς τῶν προφητῶν αἵμασι μετρίως σωφρονιζόμενοι.

„Ἐσαλεύθησαν [4]) ἐγρήγοροι," κ. τ. ε. Σύμμαχός φησιν· „ἀκατάστατοι ἐγένοντο, τυφλοὶ ἐν ταῖς ἐξόδοις, ἐφύρασαν ἐν αἵματι, ὥστε μὴ δύνασθαι ἅψασθαι τῆς ἐσθῆτος αὐτῶν." Ἐγρηγόρους γραφὴ τοὺς ἀγγέλους καλεῖ, ὡς παρὰ τῷ Δανιήλ. [5]) Οὗτοι δὲ ἦσαν, δι' ὧν ἴσως καὶ ὁ διὰ Μωυσέως νόμος ἐδόθη κατὰ τό· „εἰ [6]) γὰρ ὁ δι' ἀγγέλων λαληθεὶς νόμος." Οὗτοι γὰρ προσκαρτεροῦντες αὐτῇ καὶ τῷ θείῳ ναῷ, σαλευθέντες μετέστησαν. Ἰώσηππος [7]) γὰρ ἐν τοῖς περὶ ἁλώσεως ἱστορεῖ, ὡς νύκτωρ οἱ ἱερεῖς προσελθόντες εἰς τὸ ἱερὸν, ὥσπερ αὐτοῖς ἔθος ἦν, πρὸς τὰς λειτουργίας, πρῶτον μὲν κινήσεως ἔφασαν ἀντιλαμβάνεσθαι, μετὰ δὲ ταῦτα φωνῆς ἀθρόας· „μεταβαίνωμεν ἐντεῦθεν·" ὅτε καὶ κατὰ Σύμμαχον „ἀκατάστατοι καὶ ἀλῆται γεγόνασιν, καὶ τυφλοὶ, φησὶν, ἐν ταῖς ἐξόδοις." Οὐ γὰρ ἦν ὅρασις διαστέλλουσα, οὐ βασιλεὺς, οὐ προφήτης, οὐδὲ ἡγού-

---

[1]) I Cor. II, 8. [2]) Ephes. III, 10.
[3]) Thren. IV, 13. [4]) Thren. IV, 14.
[5]) Cfr. Dan. IV, 10. [6]) Hebr. II, 2.
[7]) Cfr. Joseph. lib. VI. de captiv. cap. 31.

μενος· ἐξέλιπον γὰρ, ἐπεὶ παρεγένετο ᾧ ἀπέκειτο,[1]) ὃς ἦν προσδοκία ἐθνῶν.

„Ἀπόστητε[2]) ἀκαθάρτων.“ Τοῖς ἀποστόλοις ἐντέλλεται ἐκ μέσου τῶν Ἰουδαίων φυγεῖν ἐπὶ τῷ αἵματι μολυθέντων Χριστοῦ. Τὴν δὲ κλῆσιν αὐτῶν καὶ τοῖς ἀγγέλοις ἐπέτρεψεν· εἰ μὴ ἄρα τοῖς ἀποστόλοις καλεῖν εἰς μετάνοιαν αὐτοὺς τοὺς ἀκαθάρτους κελεύει. Ὅπερ ἐποίησαν εἰπόντες· „ὑμῖν[3]) ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον·“ μὴ βουλομένων δὲ, προστάττει φυγεῖν. Διό φασιν ὡς μὴ θελόντων, τό· „ἰδοὺ,[4]) στρεφόμεθα εἰς τὰ ἔθνη.“

„Ὅτι[5]) ἀνήφθησαν, καί γε ἐσαλεύθησαν.“ Δηλοῖ δὲ, τὸ μέν· „ἀνήφθησαν·“ τὸ τῆς ἁλώσεως πῦρ, τὸ δέ· „ἐσαλεύθησαν·“ τὴν εἰς δουλείαν μετάστασιν· τὸ δέ· „οὐ[6]) μὴ προσθῶσιν τοῦ παροικεῖν·“ ὅτι διηνεκῆ σχήσουσι παροικίαν, δευτέρας μηκέτι δεόμενοι.

„Πρόσωπον[7]) κυρίου μερὶς αὐτῶν.“ Τὴν παρὰ Χριστοῦ τιμωρίαν δηλοῖ· λέγει γὰρ ὁ Δαυίδ· „πρόσωπον[8]) δὲ κυρίου ἐπὶ ποιοῦντας κακά.“ Οὐκ ἐπιβλέπονται δὲ παρ' αὐτοῦ, μένοντες ὅπερ εἰσίν· „ὅταν[9]) γὰρ εἰσέλθῃ τὸ πλήρωμα τῶν ἐθνῶν, πᾶς Ἰσραὴλ σωθήσεται,“ καὶ λοιπὸν ὡς πιστὸς ἐπιβλέπεται. Εἰ δὲ γράφοιτο· „μερὶς[10]) αὐτῶν·“ δῆλον ὅτι ἐξιόντων ἐκ μέσου φησίν. Περὶ δὲ τῶν πολεμίων τό· πρόσωπον[11]) ἱερέων οὐκ ἔλαβον·“ πάντας γὰρ ἀπήγαγον.

„Ἔτι[12]) ὄντων ἡμῶν,“ κ. τ. ε. Ὑπὸ τῶν αἰχμαλώτων ὁ λόγος εἶναι δοκεῖ, μετανοούντων ἐφ' οἷς

---

[1]) Cfr. Gen. XLIX, 10. [2]) Thren. IV, 15.
[3]) Act. XIII, 46. [4]) Act. XIII, 46.
[5]) Thren. IV, 15. [6]) Thren. IV, 15.
[7]) Thren. IV, 16.
[8]) Psalm. XXXIV, 16. (XXXIII.)
[9]) Cfr. Rom. XI, 25. [10]) Thren. IV, 16.
[11]) Thren. IV, 16. [12]) Thren. IV, 17.

Αἰγυπτίοις καὶ Ἀσσυρίοις πρὸς βοήθειαν ἐπερείδοντο. Λέγοιτο δ' ἂν ἀκολούθως ὑπὸ τῶν ἐκ περιτομῆς πιστευσάντων· ἐξελίπομεν, διὰ κενῆς εἰς τὸν νόμον ἐλπίζοντες. Ὁ γὰρ νόμος σώζει οὐδένα, καθάπερ εἶπεν ὁ Παῦλος. [1]) *Οὐκοῦν οὐδὲ οἱ ἠρτημένοι τοῦ νόμου βοηθῆσαι μετὰ τὴν χάριν δυνήσονται.*

„Ἐθηρεύσαμεν [2]) *μικροὺς ἡμῶν.“ Ὑπὸ γὰρ τοῦ σωτῆρος ἁλιεῖς* [3]) *ἀνθρώπων ἀποδειχθέντες οἱ μαθηταὶ ἐθήρευον Ἰουδαίους ταῖς φρεσὶ νηπίους, μὴ τὴν πλατεῖαν καὶ εὐρύχωρον τῶν πατέρων βαδίζειν ὁδόν· οὕσπερ δὴ καὶ ὁ σωτὴρ ὑπηνίττετο, λέγων· „ἐάσατε* [4]) *τὰ παιδία ἐλθεῖν πρός με.“*

„Κοῦφοι [5]) *ἐγένοντο οἱ διώκοντες ἡμᾶς ὑπὲρ ἀετοὺς οὐρανοῦ.“ Ἱστορεῖ γὰρ Ἰώσηππος ὡς οὐδὲ τὰ ὄρη τοὺς φεύγοντας διέσωσεν. Ἐκεῖ τοίνυν ἡμᾶς ἕλκοντες ἥπτοντο, ἤγουν πρὸς δίκην ἀνήφθησαν καθ' ἡμῶν. Νοοῖτο δ' ἂν καὶ περὶ τῶν ἀποστόλων, ὧν ἀνεκαινίσθη* [6]) *ὡς ἀετοῦ ἡ νεότης.*

„Πνεῦμα [7]) *προσώπου ἡμῶν,“ κ. τ. ε. Τινὲς ἔφασαν, ὡς ἐν τοῖς ἐξαιρέτοις διαφανέστερον τὸν Ἰωσίαν θρηνεῖ. Ἤλπιζον γὰρ διὰ τῆς αὐτοῦ θεοσεβείας ἀνασταθῆναι τὴν Ἱερουσαλὴμ ἐν μέσῳ ἐθνῶν εἰς δόξαν. Ἐν μέσῳ γὰρ ἐθνῶν ἡ Ἱερουσαλήμ· τύπος δὲ οὗτος, φασί, Χριστοῦ, διὰ τὰς ἀνομίας τεθνηκὼς τοῦ λαοῦ, καί τοι οὐκ ἐν ταῖς τοῦ λαοῦ συνελήφθη διαφθοραῖς· ἀλλ' ὡς ἀπαγορεύσαντος τοῦ προφήτου συναντήσας Νεχαὼ Φαραώ, καίπερ πρὸς αὐτὸν οὐκ ἐθέλοντι μαχέσασθαι. Κατὰ τοίνυν τὸν θεῖον ἀπόστολον, κάλυμμα* [8])

---

[1]) Cfr. Gal. III, 11. [2]) Thren. IV, 18.
[3]) Cfr. Matth. IV, 19.
[4]) Cfr. Matth. XIX, 14. [5]) Thren. IV, 19.
[6]) Cfr. Psalm. CIII, 5. (CII.)
[7]) Thren. IV, 20.
[8]) Cfr. II Cor. III, 14. 15. 16. 17.

τῷ προσώπῳ τῶν Ἰουδαίων ἐπίκειται Μωυσέως ἀναγινωσκομένου· ἐὰν δὲ ἐπιστραφῇ πρὸς κύριον, περιαιρεῖται τὸ κάλυμμα· ὁ δὲ κύριος τὸ πνεῦμά ἐστιν. Διὰ δὲ τοῦ προφήτου ῥητὸν πνεῦμα λέγει τὸν κύριον. Οἷς οὖν ἐπίκειται κάλυμμα, οὐκ ἂν εἴποιεν· „πνεῦμα προσώπου ἡμῶν Χριστὸς κύριος·“ ἀλλ' οἱ ἀνακεκαλυμμένῳ¹) προσώπῳ εἰς δόξαν κυρίου κατοπτριζόμενοι, ὧν ἀεὶ πρὸ τῶν τῆς διανοίας ὀφθαλμῶν ἐστιν ὁ κύριος· ὡς δῆλον, ὅτι τὸ ἐνεργῆσαν ἐν τοῖς προφήταις πνεῦμα ἦν ὁ Χριστὸς, ὃς καὶ ἐνανθρωπήσας φησίν· „αὐτὸς²) ὁ λαλῶν πάρειμι·“ αὐτὸς ὢν πνεῦμα, καὶ κύριος, καὶ Χριστός. Τοῦτον συνέλαβον οἱ διαφθείραντες πρῶτον ἐν ἑαυτοῖς τῆς θεοσεβείας σπέρματα. Ἀλλ' ἡμεῖς οἱ προφῆται οὐκ ἄλλον ἡγούμενοι τὸ πνεῦμα τοῦ προσώπου ἡμῶν, μετὰ τὴν ἡμῶν σύλληψιν μηκέτι τόπον ἔχοντες ἐν αὐτοῖς, ὑπὸ τῇ τοῦ Χριστοῦ χάριτι σκιαζόμεθα, οὐκέτι παρ' Ἰουδαίοις, ἀλλ' ἐν ὅλοις τοῖς ἔθνεσιν, ὅτε ἀρθεῖσα ἡ βασιλεία τοῦ θεοῦ ἀπ' αὐτῶν διὰ τὸ κατὰ τοῦ Χριστοῦ τόλμημα ἐδόθη τοῖς ἔθνεσιν. Ἰδοὺ γὰρ ζῶσιν ἐν ἡμῖν οἱ προφῆται, λαλοῦντες περὶ αὐτοῦ καὶ κηρύσσοντες, ἀλλ' οὐκέτι παρ' ἐκείνοις, τοῖς ἔτι καὶ νῦν αὐτὸν ταῖς ἑαυτῶν διαφθοραῖς περιβάλλουσιν, ὁσημέραι βλασφημοῦντες αὐτόν. Ὁ δὲ Ἀκύλας ἔφη· „πνεῦμα μυκτήρων ἡμῶν.“ Σύμμαχος δέ· „πνοὴ μυκτήρων ἡμῶν.“ Οἱ γὰρ θεοφιλεῖς διὰ παντὸς Χριστὸν ἀναπνέουσιν, πρὸ ὀφθαλμῶν αὐτὸν ἔχοντες. Ἰστέον δὲ, ὅτι ὥσπερ ὁ Χριστὸς πνεῦμα ὢν ἐν τοῖς προφήταις ἐλάλησεν, οὕτω καὶ ὁ πατήρ. Λέγει γὰρ ἐν τῇ πρὸς Ἑβραίους ὁ Παῦλος· „πολυμερῶς³) καὶ πολυτρόπως πάλαι ὁ θεὸς λαλήσας ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν υἱῷ.“ Οὕτως δὲ καὶ τὸ

¹) Cfr. II Cor. III, 18.
²) Cfr. Jesai. LII, 6.
³) Cfr. Hebr. I, 1.

πνεῦμα τὸ ἅγιον· φησὶ γὰρ ὁ σωτήρ· „καλῶς[1]) εἶπεν ἐν Ἠσαΐᾳ τὸ πνεῦμα τὸ ἅγιον· ἀκοῇ ἀκούσητε, καὶ οὐ μὴ συνῆτε.“ Ἐν δὲ τῇ πρὸς Κορινθίους ὁ Παῦλος εἰπὼν τὰ χαρίσματα, ἐν οἷς ἐστιν ἡ προφητεία, φησίν· „ταῦτα[2]) δὲ πάντα ἐνεργεῖ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, χορηγοῦν ἑκάστῳ καθὼς βούλεται·“ τουτέστιν αὐθεντικῶς, οὐ δουλικῶς. Λέγοις δ' ἂν πνεῦμα προσώπου Χριστὸν, τὸν δωρησάμενον ἡμῖν τὸ πνεῦμα τῆς προφητείας. Αὕτη γὰρ προφητῶν πρόσωπον, πνεῦμα δὲ χάρισμα, σκιὰ δὲ ὁ νόμος· σκιὰν[3]) γὰρ ἔχει ὁ νόμος τῶν μελλόντων ἀγαθῶν. Ἔζησαν οὖν ἐν ἡμῖν οἱ προφῆται, καὶ ἐν τῇ τοῦ νόμου σκιᾷ. Τὸ οὖν χάρισμα τὸ προφητικὸν, πρὸς ὃ βλέπει πάσης τῆς προφητείας ἡ ἔκβασις, Χριστός ἐστιν, τουτέστιν, ἀπὸ Χριστοῦ. Τέλος[4]) γὰρ νόμου καὶ προφητῶν ὁ Χριστός. Ῥηθείη δὲ καὶ ἐκ προσώπου τῶν ἀποστόλων, καὶ τῶν πιστῶν· „ἐν[5]) αὐτῷ γὰρ ζῶμεν καὶ κινούμεθα καί ἐσμεν·“ ᾧ εἴπομεν· „ἐν[6]) τῇ σκιᾷ αὐτοῦ ζησόμεθα,“ τουτέστι κατὰ μίμησιν αὐτοῦ. Λέγει γὰρ ὁ θεῖος ἀπόστολος· „μιμηταί[7]) μου γίνεσθε, καθὼς κἀγὼ Χριστοῦ.

„Χαῖρε[8]) καὶ εὐφραίνου, θύγατερ Ἰδουμαίας.“ Ὁ λόγος πρὸς τοὺς ἐξ Ἐδὼμ καὶ Ἡσαῦ τοῦ ἀδελφοῦ Ἰακὼβ, ὑπερβολὴν αὐτοῖς προσαγορεύων κακῶν. Τοῦτο γὰρ τό· „μεθυσθήσῃ[9]) καὶ ἀποχεεῖς·“ περὶ ὧν φησι καὶ Δαυίδ· „μνήσθητι,[10]) κύριε, τῶν υἱῶν Ἐδὼμ, τὴν ἡμέραν Ἱερουσαλὴμ, τῶν λεγόντων· ἐκκενοῦτε, ἐκκενοῦτε ἕως τῶν θεμελίων αὐτῆς.“ Ἀδελφοὶ γὰρ ὄντες καὶ γείτονες, τὸ προγονικὸν διεφύλαξαν μῖσος. Περὶ δὲ Χριστοῦ

---

1) Cfr. Matth. XIII, 14. coll. Jesai. VI, 9.
2) Cfr. I Cor. XII, 11. 3) Cfr. Hebr. X, 1.
4) Cfr. Rom. X, 4. 5) Cfr. Act. XVII, 28.
6) Cfr. Thren. IV, 20. 7) I Cor. XI, 1.
8) Thren. IV, 21. 9) Thren. IV, 21.
10) Psalm. CXXXVII, 7. (CXXXVI.)

φήσας, εἰς καιρὸν καὶ ταύτης ἐμνήσθη. Τὴν γὰρ γήϊνον προσαγορευομένην πορθεῖν ἔμελλεν ὁ Χριστὸς, οὐράνιον ἐργαζόμενος. Ἀπειλητικὸν γὰρ ἡ ἀρετή τε, καὶ γνῶσις πρὸς τοὺς φιληδονοῦντας πλάναις καὶ μέθαις· ὧν μέθη μὲν ἡ νέκρωσις τῆς σαρκὸς, ὑπερέκχυσις δὲ, καὶ τὸ νεκρῶσαι ταύτης τὸ φρόνημα.

„Ἐξέλιπεν[1]) ἡ ἀνομία σου, θύγατερ Σιὼν, οὐ προσθήσει τοῦ ἀποικίσαι σε.“ Ἱκανὴν ἐξέτισας δίκην, ἐν ᾗ Ἐδὼμ διαδέξεται. Τὸ δὲ τό· „οὐ[2]) προσθήσει τοῦ ἀποικίσαι σε“ ἢ πρὸς τὴν ἀνάκλησίν φησιν· — οὐ γὰρ ἐπιμενεῖς τῇ αἰχμαλωσίᾳ τὸ τέλειον μέτρον πληρώσασα· μειοῖ γὰρ τὴν δίκην ὁ θεὸς, οὐ προστίθησιν· — ἢ γοῦν εἰ πρὸς δευτέραν ὡς μὴ γενησομένην ἅλωσιν εἴρηται, πῶς ἡ μετ᾽ ἐκείνην ὑπὸ Ῥωμαίων ἐγένετο; Μήποτε τοίνυν περὶ τῆς ἐσχάτης ὁ λόγος τῆς γεγονυίας διὰ Χριστὸν, μεθ᾽ ἣν οὐ γέγονεν ἑτέρα. Καὶ πᾶς Ἰσραὴλ σωθήσεται, μετὰ τὸ πλήρωμα τῶν ἐθνῶν, τὴν ἀνομίαν ἀπολιπών· μεθ᾽ ὃ λοιπὸν ἡ συντέλεια, καὶ τῶν γηΐνων ἡ κόλασις, ἐκδεχομένης τῆς κρίσεως. Ῥηθείη δ᾽ ἂν καὶ πρὸς τὴν ἐκκλησίαν ὁ λόγος, ἥτις ἐστὶ θυγάτηρ τῆς πάλαι συναγωγῆς· ἀμεταμέλητα γὰρ τὰ χαρίσματα τοῦ θεοῦ. Ἐξέλιπε δὲ ταύτης ἡ ἀνομία διὰ τοῦ θείου βαπτίσματος. Ἣν οὐκέτι τοῖς ἐχθροῖς παραδίδωσιν ὁ φήσας· „ὧδε[3]) κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν·“ καὶ τό· „ἰδοὺ[4]) ἐγὼ μεθ᾽ ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος·“ ὅτε καὶ τὴν ἀσέβειαν ἐστηλίτευσε τῶν φρονούντων τὰ γήϊνα.

---

1) Thren. IV, 22. 2) Thren. IV, 22.
3) Psalm. CXXXII, 14. (CXXXI.)
4) Matth. XXVIII, 20.

ORIGENIS
FRAGMENTA EX LIBRO DE PROVERBIIS SALOMONIS.

Videtur [1]) autem mihi et illa assertio, quae transformari animas de corporibus in alia corpora asseverat, pervenisse etiam in aliquos eorum, qui Christo credere videntur, ex quibusdam scripturae sanctae occasionibus, non intelligentes, quomodo intelligi debeant, quae scripta sunt. Non enim animadvertunt, quomodo homo efficiatur, aut pullus, aut equus, aut mulus; et putaverunt, transformari humanum animum in pecudum corpora, ut aestimarent, quod aliquando serpentis suscipit corpus vel viperae, aliquando equi, vel reliquorum animalium. Jam ergo consequens est, et hoc illos dicere debere, quod diabolus, qui leo in Scripturis dicitur, corpore leonis utatur, aut draconis carnibus, cum draco nominatur. Ita erit, ut secundum illos transmutatio ista animarum perveniat et in daemonum naturam, ut sit aliquando vel leo, vel draco anima, habens diabolum.

Et paulo post:

Sed superfluae sunt omnes istae adinventiones. Manifestum est enim, quod una poena tam daemonum naturae, quam humano generi peccatorum a Domino praefinita

---

[1]) Cfr. Prolegomena coll. ed. Ruaei Tom. III.

sit illa, quam Dominus sua sententia designavit, dicens: „ite[1]) in ignem aeternum, qui paratus est diabolo et angelis ejus:" ostendens, quia eadem species poenarum peccatoribus hominibus, et diabolo, et angelis ejus praeparata sit, licet in eadem poena diversa sit quantitas poenae. Alius enim gravius ac vehementius cruciatur pro magnitudine peccatorum: alius autem remissius, cujus leviora et faciliora peccata sunt.

---

[1]) Cfr. Matth. XXV, 41.

ΕΚ ΤΩΝ ΩΡΙΓΕΝΟΥΣ ΕΙΣ ΤΑΣ ΠΑΡΟΙΜΙΑΣ ΣΟΛΟΜΩΝΤΟΣ.

Κεφάλαιον πρῶτον.

„Παροιμίαι[1]) Σολομῶντος υἱοῦ Δαυίδ.“ Υἱὸς Δαυὶδ καὶ ὁ σωτὴρ λέγεται. Οὗτος εἰρηνικὸς ἡμῶν σωτὴρ ὁ γενόμενος[2]) ἐκ σπέρματος Δαυὶδ, τὸ κατὰ σάρκα, ἐβασίλευσεν ἐν Ἰσραήλ. Διὸ καὶ ἐπεγράφη τὴν ὑπὲρ ἀνθρώπων οἰκονομίαν τελῶν· „οὗτός[3]) ἐστιν ὁ βασιλεὺς τῶν Ἰουδαίων.“ Ἰουδαῖοί εἰσιν ὁ Ἰσραήλ, ὧν εἰρηνικὸς σωτὴρ βασιλεύει ὡς διορατικῶν, ἐὰν ὦσιν ἀληθῶς Ἰσραήλ. Οὐ[4]) γὰρ ὅσοι σπέρμα τοῦ Ἀβραάμ, πάντως καὶ τέκνα, τῷ μὴ ποιεῖν[5]) τὰ ἔργα τοῦ Ἀβραάμ.

„Τοῦ[6]) γνῶναι σοφίαν καὶ παιδείαν.“ Σοφία ἐστὶν ἐπιστήμη θείων καὶ ἀνθρωπίνων πραγμάτων κατάληψις· κατὰ δέ τινας· „ἀτμίς[7]) ἐστι τῆς τοῦ θεοῦ δυνάμεως, καὶ ἀπόῤῥοια τῆς τοῦ παντοκράτορος δόξης εἰλικρινής· οὐδὲν γὰρ εἰς αὐτὴν σκοτεινὸν ἐμπίπτει· ἀπαύγασμα γάρ ἐστι φωτὸς ἀϊδίου, καὶ ἔσοπτρον ἀκηλίδωτον τῆς τοῦ θεοῦ ἐνεργείας, καὶ εἰκὼν τῆς ἀγαθότητος αὐτοῦ.“ Ὁ γινώσκων ἔργα σοφίας, ταῦτα γινώσκει, τουτέστι, τὸ ἀπαύγασμα τοῦ ἀϊδίου, καὶ τὸ ἀκηλίδωτον ἔσοπτρον τῆς τοῦ θεοῦ ἐνεργείας, καὶ τὴν εἰκόνα τῆς ἀγαθότητος αὐτοῦ. Ταῦτα δὲ οὐδὲν ἕτερόν ἐστιν, ἢ γνῶναι τὸν υἱὸν τῆς τοῦ θεοῦ ἀγάπης, καὶ τὴν σοφίαν τὸν Χριστόν. Χριστὸς γὰρ θεοῦ δύναμις καὶ θεοῦ

[1]) Prov. I, 1. [2]) Cfr. Rom. I, 3.
[3]) Luc. XXIII, 38. [4]) Cfr. Rom. IX, 7.
[5]) Cfr. ev. Joann. VIII, 39. [6]) Prov. I, 2.
[7]) Cfr. Sap. Sal. VII, 25. 26.

σοφία. Τοῦτο δὲ οὐκ ἀπὸ σαρκὸς καὶ αἵματος, ἀλλ' ἀπὸ τοῦ οὐρανίου πατρὸς ἀποκαλύπτεται. Γινώσκει δὲ σοφίαν, καὶ ὁ τὴν ἐπιστήμην εἰδὼς τῶν θείων, νομικῶν καὶ προφητικῶν, εὐαγγελικῶν τε καὶ ἀποστολικῶν λογίων. Ἐπὶ τὴν πέτραν τίθησι τὸν θεμέλιον, τουτέστιν ἐπὶ τῇ πίστει Χριστοῦ, ὡς ἀντέχειν πρὸς βροχὰς, καὶ ἀνέμους, καὶ πνεύματα, δηλαδὴ τοὺς ὁθενοῦν γινομένους πειρασμούς. Εἰ δέ φησιν ὁ Λουκᾶς, ὡς „ἐπήνεσε[1]) τὸν οἰκονόμον τῆς ἀδικίας," κατεχρήσατο, τὸν ἔπαινον ἐπὶ τῆς ἐντρεχείας λαβὼν, διά τε τῆς διανοίας ὀξύ. Ὅπερ ἔοικε δηλοῦσθαι κἂν τῷ· „ὁ[2]) δὲ ὄφις φρονιμώτατος πάντων τῶν θηρίων·" καθ' ὃ λέλεκται καὶ τό· „γίνεσθε[3]) φρόνιμοι ὡς ὁ ὄφις·" οἱονεὶ μὴ ἄπειροι τῶν τοῦ ὄφεως πανουργημάτων.

„Νοήσει[4]) τε παραβολὴν καὶ σκοτεινὸν λόγον, ῥήσεις τε σοφῶν καὶ αἰνίγματα." Τίνα διαφορὰν ἔχει ταῦτα πρὸς ἄλληλα, κατανοήσωμεν· καὶ πρῶτον, τί ποτέ ἐστι παραβολὴ, ἴδωμεν ἀφ' ὧν ἔχομεν εὐαγγελικῶν ἀφορμῶν. Ἐχρήσαντο γὰρ τῷ ὀνόματι τῆς παραβολῆς ἄλλοι τε, καὶ Ματθαῖος οὕτως· „ἐν[5]) τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελθὼν ὁ Ἰησοῦς ἐκ τῆς οἰκίας, ἐκάθητο παρὰ τὴν θάλασσαν, καὶ πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει. Καὶ ἐλάλησεν αὐτοῖς πολλὰ ἐν παραβολαῖς· ἰδοὺ, ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι." Ἔστι τοίνυν παραβολὴ, λόγος ὡς περὶ γενομένου, μὴ γενομένου μὲν κατὰ τὸ ῥητὸν, δυναμένου δὲ γενέσθαι, τροπικῶς δηλωτικὸς πραγμάτων ἐκ μεταλήψεως τῶν ἐν τῇ παραβολῇ λελεγμένων. Οὐ γὰρ γέγονε κατὰ τὴν λέξιν τό· „ἐξῆλθεν[6]) ὁ σπείρων·" ὡς λέγομεν γεγονέναι τὰ τῆς ἱστορίας· πλὴν δυνατὸν γενέσθαι κατὰ τὸ ῥητόν· „ἰδοὺ,[7]) ἐξῆλθεν

---

1) Cfr. Luc. XVI, 8. 2) Gen. III, 1.
3) Cfr. Matth. X, 16. 4) Prov. I, 6.
5) Cfr. Matth. XIII, 1—3.
6) Matth. XIII, 3. 7) Matth. XIII, 3.

